Κεμμένῳ ὄρει καὶ τὰ ὑπ' αὐτῇ κείμενα τῇ Πυρήνῃ· τὸ
Cemmenus mountain and those under itself lying the Pyrene the
μέντοι πλέον τἀντεῦθεν εὐδοκιμεῖ. ἐν δὲ τοῖς ψήγμασι τοῦ
however more the-from-here is-esteemed in and the dust of-the
χρυσίου φασὶν εὑρίσκεσθαί ποτε καὶ ἡμιλιτριαίας βώλους
gold they-say to-be-found sometimes even half-pound nuggets
ἃς καλοῦσι πάλας, μικρᾶς καθάρσεως δεομένας. φασὶ δὲ
which they-call palae little purification needing they-say and
καὶ λίθων σχιζομένων εὑρίσκειν βωλάρια θηλαῖς ὅμοια· ἐκ
also of-stones split to-find small-nuggets to-nipples like from
δὲ τοῦ χρυσοῦ ἑψομένου καὶ καθαιρομένου στυπτηριώδει
and the gold boiled and purified with-alum-like

τινὶ γῇ τὸ κάθαρμα ἤλεκτρον εἶναι· πάλιν δὲ τούτου
some earth the residue electrum to-be again and this
καθεψομένου, μίγμα ἔχοντος ἀργύρου καὶ χρυσοῦ, τὸν μὲν
being-boiled-down mixture having of-silver and gold the indeed
ἄργυρον ἀποκαίεσθαι τὸν δὲ χρυσὸν ὑπομένειν· εὐδιάχυτος
silver to-be-burned-off the but gold to-remain easily-fused
γὰρ *** ὁ τύπος καὶ λιπώδης· διὰ τοῦτο καὶ τῷ
for (lacuna) the type and fatty because-of this also with-the
ἀχύρῳ τήκεται μᾶλλον ὁ χρυσός, ὅτι ἡ φλὸξ μαλακὴ
chaff is-melted rather the gold because the flame soft
οὖσα συμμέτρως ἔχει πρὸς τὸ εἶκον καὶ διαχεόμενον
being proportionately is to the yielding and melting
ῥᾳδίως, ὁ δὲ ἄνθραξ ἐπαναλίσκει πολὺ ὑπερτήκων τῇ
easily the but coal consumes much over-melting by-the
σφοδρότητι καὶ ἐξαίρων. ἐν δὲ τοῖς ῥείθροις σύρεται
violence and carrying-off in and the streams it-is-dragged
καὶ πλύνεται πλησίον ἐν σκάφαις, ἢ ὀρύττεται φρέαρ,
and is-washed near in troughs or is-dug well
ἡ δὲ ἀνενεχθεῖσα γῇ πλύνεται. τὰς δὲ τοῦ ἀργύρου
the but brought-up earth is-washed the and of-the silver
καμίνους ποιοῦσιν ὑψηλάς, ὥστε τὴν ἐκ τῶν βώλων
furnaces they-make high so-that the from the ores
λιγνὺν μετέωρον ἐξαίρεσθαι· βαρεῖα γάρ ἐστι καὶ ὀλέθριος.
smoke aloft to-be-raised heavy for it-is and deadly
τῶν δὲ χαλκουργείων τινὰ καλεῖται χρυσεῖα, ἐξ ὧν
of-the and copper-mines some are-called gold-mines from which
τεκμαίρονται χρυσὸν ἐξ αὐτῶν ὀρύττεσθαι πρότερον.
they-infer gold from them to-be-dug formerly
Ποσειδώνιος δὲ τὸ πλῆθος τῶν μετάλλων ἐπαινῶν καὶ 9
Posidonius and the multitude of-the mines praising and
τὴν ἀρετὴν οὐκ ἀπέχεται τῆς συνήθους ῥητορείας, ἀλλὰ
the excellence not abstains from-the usual rhetoric but

συνενθουσιᾷ ταῖς ὑπερβολαῖς· οὐ γὰρ ἀπιστεῖν τῷ μύθῳ
shares-in-the-frenzy with-the exaggerations not for to-disbelieve the myth
φησὶν ὅτι τῶν δρυμῶν ποτε ἐμπρησθέντων ἡ γῆ τακεῖσα,
he-says that the forests once having-been-set-on-fire the earth melted
ἅτε ἀργυρῖτις καὶ χρυσῖτις, εἰς τὴν ἐπιφάνειαν
inasmuch-as silver-bearing and gold-bearing to the surface
ἐξέζεσε διὰ τὸ πᾶν ὄρος καὶ πάντα βουνὸν ὕλην
boiled-out because-of the every mountain and every hill material
εἶναι νομίσματος ὑπό τινος ἀφθόνου τύχης σεσωρευμένην.
to-be of-coinage by some lavish fortune heaped-up
καθόλου δ' ἂν εἶπε (φησίν) ἰδών τις τοὺς τόπους
generally and — would-have-said he-says having-seen anyone the places
θησαυροὺς εἶναι φύσεως ἀενάους ἢ ταμιεῖον ἡγεμονίας
treasuries to-be of-nature ever-flowing or storehouse of-empire
ἀνέκλειπτον· οὐ γὰρ πλουσία μόνον ἀλλὰ καὶ ὑπόπλουτος
unfailing not for rich only but also rich-underground
ἦν (φησίν) ἡ χώρα, καὶ παρ' ἐκείνοις ὡς ἀληθῶς τὸν
was he-says the country and among them as truly the
ὑποχθόνιον τόπον οὐχ ὁ Ἅιδης ἀλλ' ὁ Πλούτων κατοικεῖ.
underground place not — Hades but — Pluto inhabits
τοιαῦτα μὲν οὖν ἐν ὡραίῳ σχήματι εἴρηκε περὶ τούτων, ὡς
such-things indeed then in beautiful figure he-has-said about these-things as
ἂν ἐκ μετάλλου καὶ αὐτὸς πολλῷ χρώμενος τῷ λόγῳ. τὴν
— from mine also himself much using the speech the
δ' ἐπιμέλειαν φράζων τὴν τῶν μεταλλευόντων παρατίθησι
and diligence telling the of-the miners he-sets-beside
τὸ τοῦ Φαληρέως, ὅτι φησὶν ἐκεῖνος ἐπὶ τῶν Ἀττικῶν
the of-the Phalerean that says he about the Attic
ἀργυρείων, οὕτω συντόνως ὀρύττειν τοὺς ἀνθρώπους ὡς ἂν
silver-mines so intensely to-dig the men as —
προσδοκώντων αὐτὸν ἀνάξειν τὸν Πλούτωνα· καὶ
expecting himself to-be-going-to-bring-up — Pluto and

τούτων οὖν ἐμφανίζει παραπλησίαν τὴν σπουδὴν καὶ τὴν
of-these then shows similar the zeal and the
φιλεργίαν, σκολιὰς τεμνόντων καὶ βαθείας τὰς σύριγγας
industry crooked cutting and deep the tunnels
καὶ πρὸς τοὺς ἐν αὐταῖς ἀπαντῶντας ποταμοὺς πολλάκις
and against the in them meeting rivers often
τοῖς Αἰγυπτίοις ἀναντλούντων κοχλίαις. *** τὸν δόλον
with-the Egyptian pumping-out screws (lacuna) the guile
οὐ ταὐτὸν εἶναι τούτοις τε καὶ τοῖς Ἀττικοῖς, ἀλλ' ἐκείνοις
not the-same to-be for-these both and for-the Attic but for-those
μὲν αἰνίγματι ἐοικέναι τὴν μεταλλείαν· ὅσα μὲν
indeed to-riddle to-resemble the mining as-many-things-as indeed
γὰρ ἀνέλαβον (φησίν) οὐκ ἔλαβον, ὅσα δὲ εἶχον,
for they-took-up he-says not they-took as-many-things-as but they-had
ἀπέβαλον· τούτοις δ' ὑπεράγαν λυσιτελεῖν, τοῖς μὲν
they-lost for-these but exceedingly to-be-profitable for-the indeed
χαλκουργοῖς τέταρτον μέρος ἐξάγουσι τῆς γῆς τὸν χαλκόν,
copper-workers fourth part bringing-out of-the earth the copper
τῶν δὲ ἀργυρευόντων τισὶν ἰδιωτῶν ἐν τρισὶν ἡμέραις
of-the but silver-miners to-some private-persons in three days
Εὐβοϊκὸν τάλαντον ἐξαίρουσι. τὸν δὲ καττίτερον οὐκ
Euboic talent taking-out the and tin not
ἐπιπολῆς εὑρίσκεσθαί φησιν, ὡς τοὺς ἱστορικοὺς θρυλεῖν,
on-the-surface to-be-found he-says as the historians prate
ἀλλ' ὀρύττεσθαι· γεννᾶσθαι δ' ἔν τε τοῖς ὑπὲρ τοὺς
but to-be-dug to-be-produced and in both the beyond the
Λυσιτανοὺς βαρβάροις καὶ ἐν ταῖς Καττιτερίσι νήσοις, καὶ
Lusitanians barbarians and in the Cassiterides islands and
ἐκ τῶν Βρεττανικῶν δὲ εἰς τὴν Μασσαλίαν κομίζεσθαι.
from the British and into — Massalia to-be-brought
ἐν δὲ τοῖς Ἀρτάβροις, οἳ τῆς Λυσιτανίας ὕστατοι πρὸς
among and the Artabri who — of-Lusitania last toward

ἄρκτον καὶ δύσιν εἰσίν, ἐξανθεῖν φησιν τὴν γῆν ἀργύρῳ,
north and west are to-bloom he-says the earth with-silver
καττιτέρῳ, χρυσῷ λευκῷ (ἀργυρομιγὴς γάρ ἐστι), τὴν
tin gold white silver-mixed for it-is the
δὲ γῆν ταύτην φέρειν τοὺς ποταμούς· τὴν δὲ σκαλίσι
and earth this to-carry the rivers it and with-hoes
τὰς γυναῖκας διαμώσας πλύνειν ἐν ἠθητηρίοις πλεκτοῖς
the women having-scraped to-wash in sieves woven
εἰς κίστην. οὗτος μὲν περὶ τῶν μετάλλων τοιαῦτ᾽ εἴρηκε.
into box this indeed about the mines such-things has-said

IV · TARTESSUS AND HOMER'S WEST

Polybius describes the silver mines near New Carthage, where forty thousand men worked. The Baetis rises in the Silver mountain; the ancients called it Tartessus, and Gades and its islands Erytheia, so that Stesichorus has Geryon's herdsman born opposite Erytheia, by the Tartessus' springs. Strabo argues that Homer knew the far west from Heracles' expedition and the Phoenicians, who held the country before him: Tartessus suggested his Tartarus, Odysseus' wanderings left traces, a city Odysseia among them, and the west wind's mildness gave him his Elysian plain. Anacreon's line on a king of Tartessus who reigned a hundred and fifty years, whom Herodotus names Arganthonius, attests the people's long lives. The Turdetani, especially by the Baetis, have so changed to the Roman way that they have forgotten their own language.

10 Πολύβιος δὲ τῶν περὶ Καρχηδόνα νέαν ἀργυρείων
Polybius and of-the about Carthage New silver-mines
μνησθεὶς μέγιστα μὲν εἶναί φησι, διέχειν δὲ τῆς
having-mentioned greatest indeed to-be he-says to-be-distant and from-the
πόλεως ὅσον εἴκοσι σταδίους, περιειληφότα κύκλον
city as-much-as twenty stades having-embraced circuit
τετρακοσίων σταδίων, ὅπου τέτταρας μυριάδας ἀνθρώπων
of-four-hundred stades where four ten-thousands of-men

μένειν τῶν ἐργαζομένων, ἀναφέροντας τότε τῷ δήμῳ
to-remain of-the working bringing-in then to-the people
τῶν Ῥωμαίων καθ' ἑκάστην ἡμέραν δισμυρίας καὶ
of-the Romans on each day twenty-thousand and
πεντακισχιλίας δραχμάς. τὴν δὲ κατεργασίαν τὴν μὲν
five-thousand drachmas the but working the indeed
ἄλλην ἐῶ (μακρὰ γάρ ἐστι), τὴν δὲ συρτὴν βῶλον
other I-pass-over long for it-is the but dragged ore
τὴν ἀργυρῖτίν φησι κόπτεσθαι καὶ κοσκίνοις εἰς ὕδωρ
the silver-bearing he-says to-be-pounded and with-sieves into water
διαττᾶσθαι· κόπτεσθαι δὲ πάλιν τὰς ὑποστάσεις, καὶ
to-be-sifted to-be-pounded and again the sediments and
πάλιν διηθουμένας ἀποχεομένων τῶν ὑδάτων κόπτεσθαι·
again filtered being-poured-off the waters to-be-pounded
τὴν δὲ πέμπτην ὑπόστασιν χωνευθεῖσαν, ἀποχυθέντος
the and fifth sediment smelted having-been-poured-off
τοῦ μολίβδου, καθαρὸν τὸν ἄργυρον ἐξάγειν. ἔστι δὲ
the lead pure the silver to-yield are and
καὶ νῦν τὰ ἀργυρεῖα, οὐ μέντοι δημόσια οὔτε ἐνταῦθα
also now the silver-mines not however public neither here
οὔτε ἐν τοῖς ἄλλοις τόποις, ἀλλ' εἰς ἰδιωτικὰς μεθέστηκε
nor in the other places but to private have-passed
κτήσεις· τὰ δὲ χρυσεῖα δημοσιεύεται τὰ πλείω. ἐν δὲ καὶ
possessions the but gold-mines are-public the most in and both
Καστλῶνι καὶ ἄλλοις τόποις ἴδιόν ἐστι μέταλλον ὀρυκτοῦ
Castlo and other places peculiar is mine of-dug
μολίβδου· παραμέμικται δέ τι καὶ τούτῳ τοῦ ἀργύρου
lead is-mixed-in and some also with-this of-the silver
μικρόν, οὐχ ὥστε λυσιτελεῖν ἀποκαθαίρειν αὐτόν.
little not so-as to-be-profitable to-refine it

11 οὐ πολὺ δ' ἄπωθεν τοῦ Καστλῶνος ἔστι καὶ τὸ ὄρος ἐξ
not far and off — from-Castlo is also the mountain from
οὗ ῥεῖν φασι τὸν Βαῖτιν, ὃ καλοῦσιν Ἀργυροῦν διὰ
which to-flow they-say the Baetis which they-call Silver because-of
τὰ ἀργυρεῖα τὰ ἐν αὐτῷ. Πολύβιος δὲ καὶ τὸν Ἄναν καὶ
the silver-mines the in it Polybius and both the Anas and
τοῦτον ἐκ τῆς Κελτιβηρίας ῥεῖν φησι, διέχοντας ἀλλήλων
this-one from — Celtiberia to-flow says distant from-one-another
ὅσον ἐνακοσίους σταδίους· αὐξηθέντες γὰρ οἱ Κελτίβηρες
as-much-as nine-hundred stades having-grown for the Celtiberians
ἐποίησαν καὶ τὴν πλησιόχωρον πᾶσαν ὁμώνυμον ἑαυτοῖς.
made also the neighboring all of-the-same-name with-themselves
ἐοίκασι δ' οἱ παλαιοὶ καλεῖν τὸν Βαῖτιν Ταρτησσόν, τὰ δὲ
seem and the ancients to-call the Baetis Tartessus — and
Γάδειρα καὶ τὰς πρὸς αὐτὴν νήσους Ἐρύθειαν· διόπερ οὕτως
Gades and the near it islands Erytheia wherefore thus
εἰπεῖν ὑπολαμβάνουσι Στησίχορον περὶ τοῦ Γηρυόνος
to-have-said they-suppose Stesichorus about the of-Geryon
βουκόλου διότι γεννηθείη "σχεδὸν ἀντιπέρας κλεινᾶς
herdsman that he-was-born nearly opposite famous
Ἐρυθείας Ταρτησσοῦ ποταμοῦ παρὰ παγὰς ἀπείρονας
Erytheia of-Tartessus river by springs boundless
ἀργυρορίζους, ἐν κευθμῶνι πέτρας." δυεῖν δὲ οὐσῶν ἐκβολῶν
with-silver-roots in hollow of-rock two and being mouths
τοῦ ποταμοῦ πόλιν ἐν τῷ μεταξὺ χώρῳ κατοικεῖσθαι
of-the river city in the between place to-have-been-inhabited
πρότερον φασίν, ἣν καλεῖσθαι Ταρτησσὸν ὁμώνυμον τῷ
formerly they-say which to-be-called Tartessus of-the-same-name with-the
ποταμῷ, καὶ τὴν χώραν Ταρτησσίδα, ἣν νῦν Τουρδοῦλοι
river and the country Tartessis which now Turduli
νέμονται. καὶ Ἐρατοσθένης δὲ τὴν συνεχῆ τῇ Κάλπῃ
inhabit and Eratosthenes and the adjacent to-the Calpe

Ταρτησσίδα καλεῖσθαί φησι καὶ Ἐρύθειαν νῆσον εὐδαίμονα.
Tartessis to-be-called says and Erytheia island fortunate
πρὸς ὃν Ἀρτεμίδωρος ἀντιλέγων καὶ ταῦτα ψευδῶς
against whom Artemidorus speaking-in-reply also these-things falsely
λέγεσθαί φησιν ὑπ᾽ αὐτοῦ καθάπερ καὶ τὸ ἀπὸ Γαδείρων
to-be-said says by him as also the from Gades
ἐπὶ τὸ ἱερὸν ἀκρωτήριον διάστημα ἀπέχειν ἡμερῶν πέντε
to the Sacred cape distance to-be-distant of-days five
πλοῦν, οὐ πλειόνων ὄντων ἢ χιλίων καὶ ἑπτακοσίων
voyage not more being than thousand and seven-hundred
σταδίων, καὶ τὸ τὰς ἀμπώτεις μέχρι δεῦρο περατοῦσθαι
stades and the the ebb-tides as-far-as hither to-be-bounded
ἀντὶ τοῦ κύκλῳ περὶ πᾶσαν τὴν οἰκουμένην συμβαίνειν,
instead-of the in-a-circle about all the inhabited-world to-happen
καὶ τὸ τὰ προσαρκτικὰ μέρη τῆς Ἰβηρίας εὐπαροδώτερα
and the the northern parts — of-Iberia easier-of-access
εἶναι πρὸς τὴν Κελτικὴν ἢ κατὰ τὸν ὠκεανὸν πλέουσι,
to-be toward — Celtica than along the ocean for-those-sailing
καὶ ὅσα δὴ ἄλλα εἴρηκε Πυθέᾳ πιστεύσας.
and as-many-things-as indeed else he-has-said Pytheas having-believed
ὁ δὲ ποιητὴς πολύφωνός τις ὢν καὶ πολυίστωρ δίδωσιν 12
the but poet many-voiced someone being and much-informed gives
ἀφορμὰς ὡς οὐδὲ τούτων ἀνήκοός ἐστι τῶν τόπων,
occasions that not-even of-these unacquainted is the places
εἴ τις ὀρθῶς συλλογίζεσθαι βούλοιτο ἀπ᾽ ἀμφοῖν, τῶν
if anyone rightly to-infer should-wish from both the
τε χεῖρον λεγομένων περὶ αὐτῶν καὶ τῶν ἄμεινον καὶ
both worse said about them and the better and
ἀληθέστερον. χεῖρον μέν, ὅτι πρὸς δύσιν ἐσχάτη ἤκουεν
truer worse indeed that toward west farthest be-heard
αὕτη, ὅπου, καθάπερ αὐτός φησιν, εἰς τὸν ὠκεανὸν
this-country where as he says into the ocean

ἐμπίπτει "λαμπρὸν φάος ἠελίοιο, ἕλκον νύκτα μέλαιναν
falls bright light of-sun drawing night black
ἐπὶ ζείδωρον ἄρουραν." ἡ δὲ νὺξ ὅτι δύσφημον καὶ τῷ
over grain-giving field the and night that ill-omened and —
Ἅιδῃ πλησιάζον, ὁ δὲ Ἅιδης τῷ Ταρτάρῳ, εἰκάζοι
to-Hades near — and Hades to-the Tartarus would-conjecture
ἄν τις ἀκούοντα περὶ Ταρτησσοῦ τὸν Τάρταρον ἐκεῖθεν
— anyone hearing about Tartessus the Tartarus from-there
παρονομάσαι τὸν ἔσχατον τῶν ὑποχθονίων τόπων,
to-have-named the farthest of-the underground places
προσθεῖναι δὲ καὶ μῦθον τὸ ποιητικὸν σώζοντα. καθάπερ
to-have-added and also myth the poetic preserving as
καὶ τοὺς Κιμμερίους εἰδὼς ἐν βορείοις καὶ ζοφεροῖς
also the Cimmerians knowing in northern and gloomy
οἰκήσαντας τόποις τοῖς κατὰ τὸν Βόσπορον ἵδρυσεν αὐτοὺς
having-dwelt places those about the Bosporus he-placed them
πρὸς τῷ Ἅιδῃ, τάχα καὶ κατά τι κοινὸν τῶν Ἰώνων
near — Hades perhaps also according-to some common of-the Ionians
ἔχθος πρὸς τὸ φῦλον τοῦτο· καὶ γὰρ καθ' Ὅμηρον
hatred toward the tribe this also for in-the-time-of Homer
ἢ μικρὸν πρὸ αὐτοῦ λέγουσι τὴν τῶν Κιμμερίων ἔφοδον
or a-little before him they-say the of-the Cimmerians invasion
γενέσθαι τὴν μέχρι τῆς Αἰολίδος καὶ τῆς Ἰωνίας. ταῖς
to-have-taken-place the as-far-as — Aeolis and — Ionia on-the
δὲ Κυανέαις ἐποίησε παραπλησίως τὰς Πλαγκτάς, ἀεὶ
and Cyanean he-modeled similarly the Planctae always
τοὺς μύθους ἀπό τινων ἱστοριῶν ἐνάγων. χαλεπὰς γάρ
the myths from some histories drawing-in hard for
τινας μυθεύει πέτρας, καθάπερ τὰς Κυανέας φασίν, ἐξ
some he-tells-in-myth rocks as the Cyanean they-say from
οὗ καὶ Συμπληγάδες καλοῦνται· διόπερ καὶ τὸν Ἰάσονος
which also Symplegades are-called wherefore also the of-Jason

παρέθηκε δι᾽ αὐτῶν πλοῦν· καὶ ὁ κατὰ τὰς στήλας
he-set-beside through them voyage and the at the Pillars
δὲ πορθμὸς καὶ ὁ κατὰ Σικελίαν ὑπηγόρευον αὐτῷ τὸν
and strait and the at Sicily suggested to-him the
περὶ τῶν Πλαγκτῶν μῦθον. πρὸς μὲν δὴ τὸ χεῖρον
about the Planctae myth toward indeed indeed the worse
ἀπὸ τῆς τοῦ Ταρτάρου μυθοποιίας αἰνίττοιτό τις ἂν
from the of-the Tartarus myth-making might-hint anyone —
τὴν τῶν τόπων μνήμην τῶν περὶ Ταρτησσόν.
the of-the places memory of-the about Tartessus
πρὸς δὲ τὸ βέλτιον ἐκ τούτων· ἥ τε γὰρ Ἡρακλέους 13
toward and the better from these the both for of-Heracles
στρατεία μέχρι δεῦρο προελθοῦσα καὶ τῶν Φοινίκων
expedition as-far-as hither having-advanced and of-the Phoenicians
ὑπέγραφεν αὐτῷ πλοῦτόν τινα καὶ ῥᾳθυμίαν τῶν ἀνθρώπων·
suggested to-him wealth some and ease of-the men
οὗτοι γὰρ Φοίνιξιν οὕτως ἐγένοντο σφόδρα ὑποχείριοι
these for to-Phoenicians so became very subject
ὥστε τὰς πλείους τῶν ἐν τῇ Τουρδητανίᾳ πόλεων καὶ
that the most of-the in — Turdetania cities and
τῶν πλησίον τόπων ὑπ᾽ ἐκείνων νῦν οἰκεῖσθαι. καὶ ἡ τοῦ
of-the near places by them now to-be-inhabited and the —
Ὀδυσσέως δὲ στρατεία δοκεῖ μοι δεῦρο γενηθεῖσα καὶ
of-Odysseus and expedition seems to-me hither having-taken-place and
ἱστορηθεῖσα ὑπ᾽ αὐτοῦ παραδοῦναι πρόφασιν, ὥστε τὴν
recorded by him to-have-given occasion so-that the
Ὀδύσσειαν καθάπερ καὶ τὴν Ἰλιάδα ἀπὸ τῶν συμβάντων
Odyssey as also the Iliad from the events
μεταγαγεῖν εἰς ποίησιν καὶ τὴν συνήθη τοῖς ποιηταῖς
to-transfer into poetry and the customary to-the poets
μυθοποιίαν. οὐ γὰρ μόνον οἱ κατὰ τὴν Ἰταλίαν καὶ Σικελίαν
myth-making not for only the in — Italy and Sicily

τόποι καὶ ἄλλοι τινὲς τῶν τοιούτων σημεῖα ὑπογράφουσιν,
places and others some of-the such signs suggest
ἀλλὰ καὶ ἐν τῇ Ἰβηρίᾳ Ὀδύσσεια πόλις δείκνυται καὶ
but also in — Iberia Odysseia city is-shown and
Ἀθηνᾶς ἱερὸν καὶ ἄλλα μυρία ἴχνη τῆς τε ἐκείνου πλάνης
of-Athena temple and other countless traces of-the both his wandering
καὶ ἄλλων τῶν ἐκ τοῦ Τρωικοῦ πολέμου γενομένων ἐπ᾽
and of-others of-the from the Trojan war having-arisen on
ἴσης κακώσαντος τούς τε πολεμηθέντας καὶ τοὺς ἑλόντας
equal having-harmed the both warred-upon and those having-taken
τὴν Τροίαν· καὶ γὰρ οὗτοι Καδμείαν νίκην ἐτύγχανον
— Troy also for these Cadmean victory happened
ἠρμένοι, τῶν τε οἴκων αὐτοῖς κατεφθαρμένων καὶ τῶν
having-won the both houses for-them having-been-ruined and the
λαφύρων ὀλίγων εἰς ἕκαστον ἐληλυθότων· συνέβη τοῖς
spoils few to each having-come it-befell those
περιλειφθεῖσιν ἀπελθοῦσιν ἐκ τῶν κινδύνων κατὰ λῃστείας
left having-gone-away from the dangers to piracies
τρέπεσθαι, τοῖς μὲν διὰ τὸ ἐκπεπορθῆσθαι τοῖς
to-turn the(-ones) indeed because-of the to-have-been-sacked the(-others)
δὲ διὰ τὴν αἰσχύνην, ἑκάστου προλαβόντος "αἰσχρόν
but because-of the shame each anticipating shameful
τοι δηρόν τε μένειν" ἄνευ τῶν οἰκείων "κενεόν τε
surely long both to-remain apart-from the kin empty-handed and
νέεσθαι" παρ᾽ αὐτοὺς πάλιν. ἥ τε τοῦ Αἰνείου παραδέδοται
to-return to them again the both — of-Aeneas is-recorded
πλάνη καὶ Ἀντήνορος καὶ ἡ τῶν Ἑνετῶν· ὡσαύτως καὶ
wandering and of-Antenor and the of-the Heneti likewise and
ἡ Διομήδους τε καὶ Μενελάου καὶ ἄλλων πλειόνων. ὁ
the of-Diomedes both and of-Menelaus and of-others more the
τοίνυν ποιητὴς τὰς τοσαύτας στρατείας ἐπὶ τὰ ἔσχατα
then poet the so-many expeditions to the farthest-parts

τῆς Ἰβηρίας ἱστορηκώς, πυνθανόμενος δὲ καὶ πλοῦτον
— of-Iberia having-inquired-into learning and both wealth
καὶ τὰς ἄλλας ἀρετὰς (οἱ γὰρ Φοίνικες ἐδήλουν τοῦτο)
and the other excellences the for Phoenicians made-known this
ἐνταῦθα τὸν τῶν εὐσεβῶν ἔπλασε χῶρον καὶ τὸ Ἠλύσιον
here the of-the pious fashioned place and the Elysian
πεδίον, οὗ φησιν ὁ Πρωτεὺς ἀποικήσειν τὸν Μενέλαον
plain where says — Proteus to-be-going-to-settle — Menelaus
"ἀλλά σ' ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης ἀθάνατοι
but you to Elysian plain and ends of-earth immortals
πέμψουσιν, ὅθι ξανθὸς Ῥαδάμανθυς· τῇ περ ῥηίστη βιοτὴ
will-send where fair-haired Rhadamanthys where indeed easiest life
πέλει ἀνθρώποισιν· οὐ νιφετὸς οὔτ' ἄρ χειμὼν πολὺς οὐδέ
is for-men no snow nor then storm much nor
ποτ' ὄμβρος, ἀλλ' αἰεὶ ζεφύροιο λιγὺ πνείοντας ἀήτας
ever rain but always of-west-wind shrill blowing breezes
ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους." τό τε γὰρ εὐάερον
ocean sends-up to-refresh men the both for good-air
καὶ τὸ εὔπνουν τοῦ ζεφύρου ταύτης ἐστὶ τῆς χώρας
and the good-breeze of-the west-wind of-this is of-the country
οἰκεῖον ἑσπερίου τε καὶ ἀλεεινῆς οὔσης, τό τε ἐπὶ τοῖς
proper western both and warm being the both at the
πέρασι τῆς γῆς ἐφ' οἷς καὶ τὸν Ἅιδην μεμυθεῦσθαι
ends of-the earth at which also — Hades to-have-been-told-in-myth
ἔφαμεν, ὅ τε Ῥαδάμανθυς παρατεθεὶς ὑπογράφει τὸν
we-said — both Rhadamanthys set-beside suggests the
πλησίον τῷ Μίνῳ τόπον, περὶ οὗ φησίν "ἔνθ' ἤτοι
near — to-Minos place about which he-says there indeed
Μίνωα ἶδον Διὸς ἀγλαὸν υἱόν, χρύσεον σκῆπτρον ἔχοντα,
Minos I-saw of-Zeus glorious son golden scepter having
θεμιστεύοντα νέκυσσι." καὶ οἱ μετὰ ταῦτα δὲ ποιηταὶ
giving-judgment to-the-dead and the after these and poets

παραπλήσια θρυλοῦσι, τήν τε ἐπὶ τὰς Γηρυόνου βόας
similar-things prate the both after the of-Geryon cattle
στρατείαν καὶ τὴν ἐπὶ τὰ μῆλα τῶν Ἑσπερίδων τὰ χρύσεα
expedition and the for the apples of-the Hesperides the golden
ὡσαύτως, καὶ μακάρων τινὰς νήσους κατονομάζοντες, ἃς
likewise also of-blessed certain islands naming which
καὶ νῦν δεικνυμένας ἴσμεν οὐ πολὺ ἄπωθεν τῶν ἄκρων
also now shown we-know not far off from-the headlands
τῆς Μαυρουσίας τῶν ἀντικειμένων τοῖς Γαδείροις.
— of-Maurusia those lying-opposite — to-Gades
14 τοὺς δὲ Φοίνικας λέγω μηνυτάς· καὶ τῆς Ἰβηρίας καὶ
the and Phoenicians I-call informants both — of-Iberia and
τῆς Λιβύης τὴν ἀρίστην οὗτοι κατέσχον πρὸ τῆς ἡλικίας
— of-Libya the best these occupied before the age
τῆς Ὁμήρου καὶ διετέλεσαν κύριοι τῶν τόπων ὄντες,
the of-Homer and continued masters of-the places being
μέχρι οὗ Ῥωμαῖοι κατέλυσαν αὐτῶν τὴν ἡγεμονίαν. τοῦ
until when Romans put-down their the empire of-the
δ' Ἰβηρικοῦ πλούτου καὶ ταῦτα μαρτύρια· Καρχηδόνιοι
and Iberian wealth also these-things testimonies Carthaginians
μετὰ τοῦ Βάρκα στρατεύσαντες κατέλαβον, ὥς φασιν οἱ
with — Barcas having-campaigned found as say the
συγγραφεῖς, φάτναις ἀργυραῖς καὶ πίθοις χρωμένους τοὺς
historians mangers silver and jars using those
ἐν τῇ Τουρδητανίᾳ. ὑπολάβοι δ' ἄν τις ἐκ τῆς πολλῆς
in — Turdetania might-suppose and — anyone from the much
εὐδαιμονίας καὶ μακραίωνας ὀνομασθῆναι τοὺς ἐνθάδε
prosperity also long-lived to-have-been-named the here
ἀνθρώπους, καὶ μάλιστα τοὺς ἡγεμόνας, καὶ διὰ τοῦτο
men and especially the leaders and because-of this
Ἀνακρέοντα μὲν οὕτως εἰπεῖν "ἔγωγ' οὔτ' ἂν Ἀμαλθίης
Anacreon indeed so to-have-said I-at-least neither — of-Amaltheia

βουλοίμην κέρας οὔτ' ἔτεα πεντήκοντά τε καὶ ἑκατὸν
would-wish horn nor years fifty both and hundred
Ταρτησσοῦ βασιλεῦσαι," Ἡρόδοτον δὲ καὶ τὸ ὄνομα τοῦ
of-Tartessus to-reign Herodotus and also the name of-the
βασιλέως καταγράψαι καλέσαντα Ἀργανθώνιον.
king to-have-recorded having-called Arganthonius
τῇ δὲ τῆς χώρας εὐδαιμονίᾳ καὶ τὸ ἥμερον καὶ τὸ 15
with-the and of-the country prosperity both the gentleness and the
πολιτικὸν συνηκολούθησε τοῖς Τουρδητανοῖς, καὶ τοῖς
civility accompanied the Turdetani and the
Κελτικοῖς δὲ διὰ τὴν γειτνίασιν, ὡς δ' εἴρηκε Πολύβιος
Celtici and because-of the neighborhood as and has-said Polybius
διὰ τὴν συγγένειαν· ἀλλ' ἐκείνοις μὲν ἧττον· τὰ
because-of the kinship but in-them indeed less the
πολλὰ γὰρ κωμηδὸν ζῶσιν. οἱ μέντοι Τουρδητανοὶ καὶ
most for in-villages they-live the however Turdetani and
μάλιστα οἱ περὶ τὸν Βαῖτιν τελέως εἰς τὸν Ῥωμαίων
especially those about the Baetis completely to the of-Romans
μεταβέβληνται τρόπον οὐδὲ τῆς διαλέκτου τῆς σφετέρας
have-changed manner not-even of-the language the their-own
ἔτι μεμνημένοι. Λατῖνοί τε οἱ πλεῖστοι γεγόνασι καὶ
any-longer remembering Latins both the most have-become and
ἐποίκους εἰλήφασι Ῥωμαίους, ὥστε μικρὸν ἀπέχουσι τοῦ
colonists have-received Romans so-that a-little they-are-distant from-the
πάντες εἶναι Ῥωμαῖοι. αἵ τε νῦν συνῳκισμέναι πόλεις,
all to-be Romans the both now jointly-settled cities
ἥ τε ἐν τοῖς Κελτικοῖς Παξαυγοῦστα καὶ ἡ ἐν
the both among the Celtici Pax-Augusta and the among
τοῖς Τουρδούλοις Αὐγοῦστα Ἠμέριτα καὶ ἡ περὶ τοὺς
the Turduli Augusta Emerita and the about the
Κελτίβηρας Καισαραυγοῦστα καὶ ἄλλαι ἔνιαι κατοικίαι,
Celtiberians Caesar-Augusta and other some settlements

τὴν μεταβολὴν τῶν λεχθεισῶν πολιτειῶν ἐμφανίζουσι. καὶ
the change of-the said constitutions show and
δὴ τῶν Ἰβήρων ὅσοι ταύτης εἰσὶ τῆς ἰδέας τογᾶτοι
indeed of-the Iberians as-many-as of-this are the form togati
λέγονται· ἐν δὲ τούτοις εἰσὶ καὶ οἱ Κελτίβηρες οἱ πάντων
are-called among and these are also the Celtiberians those of-all
νομισθέντες ποτὲ θηριωδέστατοι. ταῦτα μὲν περὶ τούτων.
thought once most-savage these-things indeed about these

V · THE TAGUS AND LUSITANIA

From the Sacred Cape the coast runs to the Tagus, whose mouth and estuaries flood the plain; Brutus Callaicus fortified Olysipo there to keep the river open. North of the Tagus lies Lusitania, the greatest of the Iberian nations, long at war with Rome; its rivers run west, the Durius, the Lethe, and the Minius among them, and the Artabri live at its corner. Its mountaineers, poor, turned to brigandage until the Romans humbled them. Strabo describes the Lusitanians' arms, their divination from entrails and captives, their acorn bread, beer, and dances, and their harsh punishments. Augustus put down the Cantabri, and Tiberius' three legions have made them peaceable.

1 Ἀπὸ δὲ τοῦ ἱεροῦ πάλιν ἀκρωτηρίου τὴν ἀρχὴν λαμβάνουσιν
from and the Sacred again cape the beginning for-those-taking
ἐπὶ θάτερον μέρος τῆς παραλίας τὸ πρὸς τὸν Τάγον
to the-other part of-the coast the toward the Tagus
κόλπος ἐστίν· ἔπειτα ἄκρα τὸ Βαρβάριον καὶ αἱ τοῦ Τάγου
gulf there-is then headland the Barbarium and the of-the Tagus
ἐκβολαὶ πλησίον, ἐφ' ἃς εὐθυπλοίᾳ *** στάδιοι δ' εἰσὶ
mouths near to which in-straight-sailing (lacuna) stades and are
δέκα· ἐνταῦθα δὲ καὶ ἀναχύσεις, ὧν μία ἐπὶ πλείους ἢ
ten there and also estuaries of-which one for more than
τετρακοσίους σταδίους ἀπὸ τοῦ λεχθέντος πύργου, καθ' ἣν
four-hundred stades from the said tower along which

ὑδρεύονται εἴ που λακκαῖα. ὁ δὲ Τάγος καὶ τὸ πλάτος
they-draw-water if somewhere in-cisterns the and Tagus both the breadth
ἔχει τοῦ στόματος εἴκοσί που σταδίων καὶ τὸ βάθος μέγα,
has of-the mouth twenty about stades and the depth great
ὥστε μυριαγωγοῖς ἀναπλεῖσθαι. δύο δ' ἀναχύσεις ἐν τοῖς
so-that by-ten-thousand-carriers to-be-sailed-up two and estuaries in the
ὑπερκειμένοις ποιεῖται πεδίοις, ὅταν αἱ πλῆμαι γίνωνται,
lying-above it-makes plains when the floods occur
ὥστε πελαγίζειν μὲν ἐπὶ ἑκατὸν καὶ πεντήκοντα σταδίους
so-that to-become-a-sea indeed for a-hundred and fifty stades
καὶ ποιεῖν πλωτὸν τὸ πεδίον, ἐν δὲ τῇ ἐπάνω ἀναχύσει
and to-make navigable the plain in and the upper estuary
καὶ νησίον ἀπολαμβάνειν ὅσον τριάκοντα σταδίων τὸ
also islet to-enclose as-much-as thirty stades the
μῆκος, πλάτος δὲ μικρὸν ἀπολεῖπον τοῦ μήκους, εὐαλσὲς
length breadth and little falling-short of-the length with-fine-groves
καὶ εὐάμπελον. κεῖται δ' ἡ νῆσος κατὰ Μόρωνα πόλιν
and with-fine-vines lies and the island at Moron city
εὖ κειμένην ἐν ὄρει τοῦ ποταμοῦ πλησίον, ἀφεστῶσαν
well situated on mountain the river near distant
τῆς θαλάττης ὅσον πεντακοσίους σταδίους, ἔχουσαν δὲ
from-the sea as-much-as five-hundred stades having and
καὶ χώραν ἀγαθὴν τὴν πέριξ καὶ τοὺς ἀνάπλους εὐπετεῖς
also country good the around and the voyages-up easy
μέχρι μὲν πολλοῦ καὶ μεγάλοις σκάφεσι, τὸ δὲ λοιπὸν
as-far-as indeed far even for-great boats the but rest
τοῖς ποταμίοις· καὶ ὑπὲρ τὸν Μόρωνα δ' ἔτι μακρότερος
for-the river and beyond — Moron and still longer
ἀνάπλους ἐστί. ταύτῃ δὲ τῇ πόλει Βροῦτος ὁ Καλλαϊκὸς
voyage-up is this and the city Brutus the Callaicus
προσαγορευθεὶς ὁρμητηρίῳ χρώμενος ἐπολέμησε πρὸς τοὺς
surnamed as-base using made-war against the

Λυσιτανοὺς καὶ κατέστρεψε τούτους. τοῖς δὲ τοῦ ποταμοῦ
Lusitanians and subdued them at-the and of-the river
πλίθροις ἐπετείχισε τὴν Ὀλυσιπῶνα, ἵν' ἔχοι τοὺς
mud-flats fortified — Olysipo so-that he-might-have the
ἀνάπλους ἐλευθέρους καὶ τὰς ἀνακομιδὰς τῶν ἐπιτηδείων,
voyages-up free and the bringing-up of-the provisions
ὥστε καὶ τῶν περὶ τὸν Τάγον πόλεων αὗται κράτισται.
so-that also of-the about the Tagus cities these strongest
πολύιχθυς δ' ὁ ποταμὸς καὶ ὀστρέων πλήρης. ῥεῖ δ'
full-of-fish and the river and of-oysters full flows and
ἔχων τὰς ἀρχὰς ἐκ Κελτιβήρων διὰ Οὐεττώνων καὶ
having the sources from Celtiberians through Vettones and
Καρπητανῶν καὶ Λυσιτανῶν ἐπὶ δύσιν ἰσημερινήν, μέχρι
Carpetani and Lusitanians toward west equinoctial to
ποσοῦ παράλληλος ὢν τῷ τε Ἄνᾳ καὶ τῷ Βαίτι, μετὰ
some-extent parallel being to-the both Anas and the Baetis after
δὲ ταῦτα ἀφιστάμενος ἐκείνων ἀποκλινόντων πρὸς τὴν
but these standing-away-from those turning-aside toward the
νότιον παραλίαν.
southern coast

2 οἱ δὲ ὑπερκείμενοι τῶν λεχθέντων μερῶν Ὠρητανοὶ μέν εἰσι
the and lying-above the said parts Oretani indeed are
νοτιώτατοι καὶ μέχρι τῆς παραλίας διήκοντες ἐκ μέρους τῆς
most-southerly and as-far-as the coast reaching in part of-the
ἐντὸς στηλῶν, Καρπητανοὶ δὲ μετὰ τούτους πρὸς ἄρκτους,
inside the-Pillars Carpetani and after these toward north
εἶτα Οὐέττωνες καὶ Οὐακκαῖοι, δι' ὧν ὁ Δούριος ῥεῖ
then Vettones and Vaccaei through whom the Durius flows
κατ' Ἀκούτειαν πόλιν τῶν Οὐακκαίων ἔχων διάβασιν,
at Acutia city of-the Vaccaei having crossing
Καλλαϊκοὶ δ' ὕστατοι, τῆς ὀρεινῆς ἐπέχοντες πολλήν·
Callaici and last of-the mountainous-country occupying much

διὸ καὶ δυσμαχώτατοι ὄντες τῷ τε καταπολεμήσαντι
wherefore also hardest-to-fight being to-the both having-subdued
τοὺς Λυσιτανοὺς αὐτοὶ παρέσχον τὴν ἐπωνυμίαν, καὶ νῦν
the Lusitanians they gave the name and now
ἤδη τοὺς πλείστους τῶν Λυσιτανῶν Καλλαϊκοὺς καλεῖσθαι
already the most of-the Lusitanians Callaici to-be-called
παρεσκεύασαν. τῆς μὲν οὖν Ὠρητανίας κρατιστεύουσά
caused — indeed then of-Oretania most-powerful
ἐστι πόλις Καστουλὼν καὶ Ὠρία.
is city Castulo and Oria
τοῦ δὲ Τάγου τὰ πρὸς ἄρκτον ἡ Λυσιτανία ἐστὶ 3
of-the and Tagus the-parts toward north — Lusitania is
μέγιστον τῶν Ἰβηρικῶν ἐθνῶν καὶ πλείστοις χρόνοις ὑπὸ
greatest of-the Iberian nations and for-very-long times by
Ῥωμαίων πολεμηθέν. περιέχει δὲ τῆς χώρας ταύτης τὸ μὲν
Romans warred-against encloses and of-the country this the indeed
νότιον πλευρὸν ὁ Τάγος, τὸ δ' ἑσπέριον καὶ τὸ ἀρκτικὸν
southern side the Tagus the and western and the northern
ὁ ὠκεανός, τὸ δ' ἑωθινὸν οἵ τε Καρπητανοὶ καὶ οἱ
the ocean the and eastern the both Carpetani and the
Οὐέττονες καὶ Οὐακκαῖοι καὶ Καλλαϊκοί, τὰ γνώριμα ἔθνη·
Vettones and Vaccaei and Callaici the known nations
τἆλλα δὲ οὐκ ἄξιον ὀνομάζειν διὰ τὴν μικρότητα καὶ τὴν
the-others but not worthy to-name because-of the smallness and the
ἀδοξίαν· ὑπεναντίως δὲ τὰ νῦν ἔνιοι καὶ τούτους Λυσιτανοὺς
obscurity contrarily and the now some also these Lusitanians
ὀνομάζουσιν. ὅμοροι δ' εἰσὶν ἐκ τοῦ πρὸς ἕω μέρους οἱ μὲν
name bordering and are from the toward east part the indeed
Καλλαϊκοὶ τῷ τῶν Ἀστούρων ἔθνει καὶ τοῖς Ἴβηρσιν, οἱ
Callaici with-the of-the Astures nation and with-the Iberians the
δ' ἄλλοι τοῖς Κελτίβηρσι. τὸ μὲν οὖν μῆκος τρισχιλίων
but others with-the Celtiberians the indeed then length of-three-thousand

σταδίων, τὸ δὲ πλάτος πολὺ ἔλαττον, ὃ ποιεῖ τὸ ἑωθινὸν
stades the but breadth much less which makes the eastern
πλευρὸν εἰς τὴν ἀντικειμένην παραλίαν· ὑψηλὸν δ' ἐστὶ τὸ
side to the opposite coast high and is the
ἑωθινὸν καὶ τραχύ, ἡ δὲ ὑποκειμένη χώρα πεδιὰς πᾶσα
eastern and rugged the but lying-below country plain all
καὶ μέχρι θαλάττης πλὴν ὀλίγων ὀρῶν οὐ μεγάλων·
also as-far-as sea except few mountains not great
ᾗ δὴ καὶ τὸν Ἀριστοτέλη φησὶν ὁ Ποσειδώνιος οὐκ
wherefore indeed also — Aristotle says — Posidonius not
ὀρθῶς αἰτιᾶσθαι τὴν παραλίαν τῶν πλημμυρίδων καὶ τῶν
rightly to-blame the coast of-the high-tides and the
ἀμπώτεων· παλιρροεῖν γὰρ φάναι τὴν θάλατταν διὰ τὸ
ebb-tides to-flow-back for to-say the sea because-of the
τὰς ἀκτὰς ὑψηλάς τε καὶ τραχείας εἶναι δεχομένας τε τὸ
the shores high both and rugged to-be receiving both the
κῦμα σκληρῶς καὶ ἀνταποδιδούσας. τἀναντία γὰρ τῇ Ἰβηρίᾳ
wave harshly and giving-back the-contrary for — in-Iberia
θινώδεις εἶναι καὶ ταπεινὰς τὰς πλείστας, ὀρθῶς λέγων.
sandy to-be and low the most rightly saying
4 ἡ δ' οὖν χώρα περὶ ἧς λέγομεν εὐδαίμων τέ ἐστι καὶ
the and then country about which we-speak fortunate both is and
διαρρεῖται ποταμοῖς μεγάλοις τε καὶ μικροῖς, ἅπασιν ἐκ
is-flowed-through by-rivers great both and small all from
τῶν ἑωθινῶν μερῶν, παραλλήλοις τῷ Τάγῳ· ἔχουσι δὲ
the eastern parts parallel to-the Tagus have and
καὶ ἀνάπλους οἱ πλείους καὶ ψῆγμα τοῦ χρυσοῦ πλεῖστον.
also voyages-up the most and dust of-the gold very-much
γνωριμώτατοι δὲ τῶν ποταμῶν ἐφεξῆς τῷ Τάγῳ Μούνδας
best-known and of-the rivers next to-the Tagus Mundas
ἀνάπλους ἔχων μικροὺς καὶ Οὐακούα ὡσαύτως· μετὰ δὲ
voyages-up having small and Vacua likewise after and

τούτους Δούριος μακρόθεν τε ῥέων παρὰ Νομαντίαν καὶ
these Durius from-afar both flowing past Numantia and
πολλὰς ἄλλας τῶν Κελτιβήρων καὶ Οὐακκαίων κατοικίας,
many other of-the Celtiberians and Vaccaei settlements
μεγάλοις τ' ἀναπλεόμενος σκάφεσιν ἐπὶ ὀκτακοσίους σχεδόν
by-great and sailed-up boats for eight-hundred almost
τι σταδίους. εἶτ' ἄλλοι ποταμοὶ καὶ μετὰ τούτους ὁ
somewhat stades then other rivers and after these the
τῆς Λήθης, ὃν τινὲς Λιμαίαν οἱ δὲ Βελιῶνα καλοῦσι·
of-the Lethe which some Limaeas the(-others) but Belion call
καὶ οὗτος δ' ἐκ Κελτιβήρων καὶ Οὐακκαίων ῥεῖ καὶ ὁ
and this and from Celtiberians and Vaccaei flows and the
μετ' αὐτὸν Βαῖνις (οἱ δὲ Μίνιον φασὶ) πολὺ μέγιστος
after it Baenis the(-others) but Minius say much greatest
τῶν ἐν Λυσιτανίᾳ ποταμῶν ἐπὶ ὀκτακοσίους καὶ αὐτὸς
of-the in Lusitania rivers for eight-hundred also itself
ἀναπλεόμενος σταδίους. Ποσειδώνιος δὲ ἐκ Καντάβρων
sailed-up stades Posidonius but from Cantabri
αὐτὸν ῥεῖν φησί· πρόκειται δὲ τῆς ἐκβολῆς αὐτοῦ νῆσος
it to-flow says lies-before and the mouth its island
καὶ χηλαὶ δύο ὅρμους ἔχουσαι. ἐπαινεῖν δ' ἄξιον τὴν
and breakwaters two anchorages having to-praise and worthy the
φύσιν, ὅτι τὰς ὄχθας ὑψηλὰς ἔχουσιν οἱ ποταμοὶ καὶ
nature that the banks high have the rivers and
ἱκανὰς δέχεσθαι τοῖς ῥείθροις τὴν θάλατταν πλημμυροῦσαν,
sufficient to-receive in-the channels the sea flooding
ὥστε μὴ ὑπερχεῖσθαι μηδ' ἐπιπολάζειν ἐν τοῖς πεδίοις. τῆς
so-that not to-overflow nor to-spread-over on the plains of-the
μὲν οὖν Βρούτου στρατείας ὅρος οὗτος, περαιτέρω δ'
indeed then of-Brutus expedition limit this farther and
εἰσὶν ἄλλοι πλείους ποταμοὶ παράλληλοι τοῖς λεχθεῖσιν.
are other more rivers parallel to-the said

ὕστατοι δ' οἰκοῦσιν Ἄρταβροι περὶ τὴν ἄκραν ἣ καλεῖται
last and dwell Artabri about the headland which is-called
Νέριον, ἣ καὶ τῆς ἑσπερίου πλευρᾶς καὶ τῆς βορείου
Nerium which also of-the western side and of-the northern
πέρας ἐστί. περιοικοῦσι δ' αὐτὴν Κελτικοί, συγγενεῖς
end is dwell-around and it Celtici kinsmen
τῶν ἐπὶ τῷ Ἄνᾳ. καὶ γὰρ τούτους καὶ Τουρδούλους
of-those on the Anas also for these and Turduli
στρατεύσαντας ἐκεῖσε στασιάσαι φασὶ μετὰ τὴν διάβασιν
having-campaigned thither to-have-quarreled they-say after the crossing
τοῦ Λιμαία ποταμοῦ· πρὸς δὲ τῇ στάσει καὶ ἀποβολῆς τοῦ
of-the Limaeas river besides and the quarrel also loss of-the
ἡγεμόνος γενομένης, καταμεῖναι σκεδασθέντας αὐτόθι· ἐκ
leader having-occurred to-have-stayed scattered there from
τούτου δὲ καὶ τὸν ποταμὸν Λήθης προσαγορευθῆναι. ἔχουσι
this and also the river Lethe to-have-been-called have
δὲ οἱ Ἄρταβροι πόλεις συχνὰς ἐν κόλπῳ συνοικουμένας,
and the Artabri cities many on gulf settled
ὃν οἱ πλέοντες καὶ χρώμενοι τοῖς τόποις Ἀρτάβρων
which those sailing and using the places of-Artabri
λιμένα προσαγορεύουσιν· οἱ δὲ νῦν τοὺς Ἀρτάβρους
harbor call the(-ones) and now the Artabri
Ἀροτρέβας καλοῦσιν. ἔθνη μὲν οὖν περὶ τριάκοντα τὴν
Arotrebae call nations indeed then about thirty the
χώραν νέμεται τὴν μεταξὺ Τάγου καὶ τῶν Ἀρτάβρων·
country inhabit the between Tagus and the Artabri
εὐδαίμονος δὲ τῆς χώρας ὑπαρχούσης κατά τε καρποὺς
fortunate and the country being in both fruits
καὶ βοσκήματα καὶ τὸ τοῦ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν
and cattle and the of-the gold and silver and of-the
παραπλησίων πλῆθος, ὅμως οἱ πλείους αὐτῶν τὸν ἀπὸ
similar abundance nevertheless the most of-them the from

τῆς γῆς ἀφέντες βίον ἐν λῃστηρίοις διετέλουν καὶ
the land having-abandoned life in robberies continued and
συνεχεῖ πολέμῳ πρός τε ἀλλήλους καὶ τοὺς ὁμόρους
in-continuous war with both one-another and those bordering-on
αὐτοῖς διαβαίνοντες τὸν Τάγον, ἕως ἔπαυσαν αὐτοὺς
them crossing the Tagus until stopped them
Ῥωμαῖοι ταπεινώσαντες καὶ κώμας ποιήσαντες τὰς πόλεις
Romans having-humbled and villages having-made the cities
αὐτῶν τὰς πλείστας, ἐνίας δὲ καὶ συνοικίζοντες βέλτιον.
their the most some and also uniting better
ἦρχον δὲ τῆς ἀνομίας ταύτης οἱ ὀρεινοί, καθάπερ
began and the lawlessness this the mountaineers as
εἰκός· λυπρὰν γὰρ νεμόμενοι καὶ μικρὰ κεκτημένοι τῶν
likely poor for inhabiting and little possessing of-the
ἀλλοτρίων ἐπεθύμουν, οἱ δὲ ἀμυνόμενοι τούτους
others' they-desired those and defending-themselves-against these
ἄκυροι τῶν ἰδίων ἔργων καθίσταντο ἐξ ἀνάγκης,
without-power-over of-the own works became of necessity
ὥστ' ἀντὶ τοῦ γεωργεῖν ἐπολέμουν καὶ οὗτοι, καὶ
so-that instead-of the to-farm they-made-war also these and
συνέβαινε τὴν χώραν ἀμελουμένην στεῖραν οὖσαν τῶν
it-happened the country neglected barren being of-the
ἐμφύτων ἀγαθῶν οἰκεῖσθαι ὑπὸ λῃστῶν.
natural goods to-be-inhabited by robbers
τοὺς δ' οὖν Λυσιτανούς φασιν ἐνεδρευτικοὺς ἐξερευνητικοὺς 6
the and then Lusitanians they-say skilled-in-ambush skilled-in-scouting
ὀξεῖς κούφους εὐεξελίκτους· ἀσπίδιον δ' αὐτοὺς δίπουν
quick light easily-maneuvering small-shield and them two-foot
ἔχειν τὴν διάμετρον, κοῖλον εἰς τὸ πρόσθεν, τελαμῶσιν
to-have the diameter concave to the front by-straps
ἐξηρτημένον· οὔτε γὰρ πόρπακας οὔτ' ἀντιλαβὰς ἔχει ***
hung neither for handles nor grips it-has (lacuna)

παραξιφὶς πρὸς τούτοις ἢ κοπίς. λινοθώρακες οἱ πλείους·
dagger besides these or cleaver linen-corseleted the most
σπάνιοι δὲ ἀλυσιδωτοῖς χρῶνται καὶ τριλοφίαις,
few and chain-mail use and with-triple-crested-helmets
οἱ δ' ἄλλοι νευρίνοις κράνεσιν· οἱ πεζοὶ δὲ καὶ
the but others with-sinew helmets the foot-soldiers and also
κνημῖδας ἔχουσιν, ἀκόντια δ' ἕκαστος πλείω· τινὲς δὲ καὶ
greaves have javelins and each several some and also
δόρατι χρῶνται· ἐπιδορατίδες δὲ χάλκεαι. ἐνίους δὲ τῶν
spear use spear-points and bronze some and of-those
προσοικούντων τῷ Δουρίῳ ποταμῷ λακωνικῶς διάγειν
living-near to-the Durius river in-Laconian-fashion to-live
φασίν, ἀλειπτηρίοις χρωμένους δὶς καὶ πυρίαις ἐκ λίθων
they-say anointing-rooms using twice and steam-baths from stones
διαπύρων, ψυχρολουτροῦντας καὶ μονοτροφοῦντας καθαρείως
red-hot bathing-in-cold-water and eating-one-food cleanly
καὶ λιτῶς. θυτικοὶ δ' εἰσὶ Λυσιτανοὶ τά τε σπλάγχνα
and simply given-to-sacrifice and are Lusitanians the both entrails
ἐπιβλέπουσιν οὐκ ἐκτέμνοντες· προσεπιβλέπουσι δὲ καὶ τὰς
they-inspect not cutting-out they-inspect-also and also the
ἐν τῇ πλευρᾷ φλέβας, καὶ ψηλαφῶντες δὲ τεκμαίρονται.
in the side veins and feeling and they-infer
σπλαγχνεύονται δὲ καὶ δι' ἀνθρώπων αἰχμαλώτων
they-divine and also through men captives
καλύπτοντες σάγοις· εἶθ' ὅταν πληγῇ τὰ σπλάγχνα ὑπὸ τοῦ
covering-them with-cloaks then when is-struck the entrails by the
ἱεροσκόπου, μαντεύονται πρῶτον ἐκ τοῦ πτώματος. τῶν δ'
diviner they-prophesy first from the fall of-the and
ἁλόντων τὰς χεῖρας ἀποκόπτοντες τὰς δεξιὰς ἀνατιθέασιν.
captured the hands cutting-off the right they-dedicate

ἅπαντες δ᾽ οἱ ὄρειοι λιτοὶ ὑδροπόται χαμαιεῦναι 7
all and the mountaineers frugal water-drinkers sleeping-on-the-ground
βαθεῖαν κατακεχυμένοι τὴν κόμην γυναικῶν δίκην·
deep letting-flow-down the hair of-women like
μιτρωσάμενοι δὲ τὰ μέτωπα μάχονται. τραγοφαγοῦσι δὲ
having-bound and the foreheads they-fight eat-goat and
μάλιστα, καὶ τῷ Ἄρει τράγον θύουσι καὶ τοὺς αἰχμαλώτους
especially and — to-Ares goat they-sacrifice and the captives
καὶ ἵππους· ποιοῦσι δὲ καὶ ἑκατόμβας ἑκάστου γένους
and horses they-make and also hecatombs of-each kind
ἑλληνικῶς. τελοῦσι δὲ καὶ ἀγῶνας γυμνικοὺς καὶ ὁπλιτικοὺς
in-Greek-fashion they-hold and also contests gymnastic and hoplite
καὶ ἱππικούς, πυγμῇ καὶ δρόμῳ καὶ ἀκροβολισμῷ καὶ
and equestrian with-boxing and running and skirmishing and
τῇ σπειρηδὸν μάχῃ. οἱ δ᾽ ὄρειοι τὰ δύο μέρη τοῦ
the in-cohorts fight the and mountaineers the two parts of-the
ἔτους δρυοβαλάνῳ χρῶνται ξηράναντες καὶ κόψαντες,
year acorns use having-dried and having-crushed
εἶτα ἀλέσαντες καὶ ἀρτοποιησάμενοι ὥστ᾽ ἀποτίθεσθαι εἰς
then having-ground and having-made-bread so-that to-be-stored for
χρόνον. χρῶνται δὲ καὶ ζύθει· οἴνῳ δὲ σπανίζονται, τὸν
time they-use and also beer of-wine but are-short the
δὲ γινόμενον ταχὺ ἀναλίσκουσι κατευωχούμενοι μετὰ τῶν
and produced quickly they-consume feasting with the
συγγενῶν· ἀντ᾽ ἐλαίου δὲ βουτύρῳ χρῶνται. καθήμενοί
kinsmen instead-of oil and butter they-use sitting
τε δειπνοῦσι περὶ τοὺς τοίχους καθέδρας οἰκοδομητὰς
both they-dine around the walls seats built
ἔχοντες, προκάθηνται δὲ καθ᾽ ἡλικίαν καὶ τιμήν·
having they-sit-in-front and according-to age and rank
περιφορητὸν δὲ τὸ δεῖπνον. ξυλίνοις δὲ ἀγγείοις χρῶνται,
passed-around and the dinner wooden and vessels they-use

καθάπερ καὶ οἱ Κελτοί. καὶ παρὰ πότον ὀρχοῦνται πρὸς
as also the Celts and at drinking they-dance to
αὐλὸν καὶ σάλπιγγα χορεύοντες, ἀλλὰ καὶ ἀναλλόμενοι καὶ
flute and trumpet dancing-in-chorus but also leaping-up and
ὀκλάζοντες· ἐν Βαστητανίᾳ δὲ καὶ γυναῖκες ἀναμὶξ ἀνδράσιν
crouching in Bastetania and also women mingled with-men
ἀντιλαμβανόμεναι τῶν χειρῶν. μελανείμονες ἅπαντες τὸ
taking-hold-of the hands black-clad all the
πλέον ἐν σάγοις, ἐν οἷσπερ καὶ στιβαδοκοιτοῦσι, αἱ γυναῖκες
most-part in cloaks in which-very also they-sleep-on-straw the women
δ' ἐν ἐνδύμασι καὶ ἀνθίναις ἐσθήσεσι διάγουσιν. ἀντὶ δὲ
and in garments and flowered clothes go-about instead-of and
νομίσματος οἱ λίαν ἐν βάθει φορτίων ἀμοιβῇ χρῶνται
coin those very in depth of-wares exchange use
ἢ τοῦ ἀργυροῦ ἐλάσματος ἀποτέμνοντες διδόασι. τοὺς δὲ
or of-the silver plate cutting-off they-give the and
θανατουμένους καταπετροῦσι, τοὺς δὲ πατραλοίας ἔξω
condemned-to-death they-stone the and parricides outside
τῶν ὅρων καταλεύουσι. γαμοῦσι δ' ὥσπερ οἱ Ἕλληνες.
the borders they-stone they-marry and like the Greeks
τοὺς δὲ ἀρρώστους, ὥσπερ οἱ Ἀσσύριοι τὸ παλαιόν,
the and sick like the Assyrians the old-time
προτιθέασιν εἰς τὰς ὁδοὺς τοῖς πεπειραμένοις τοῦ πάθους
they-set-out on the roads for-those having-experienced the suffering
ὑποθήκης χάριν. διφθερίνοις τε πλοίοις ἐχρῶντο ἕως
of-advice for-the-sake leather both boats they-used until
ἐπὶ Βρούτου διὰ τὰς πλημμυρίδας καὶ τὰ τενάγη,
in-the-time-of Brutus because-of the high-tides and the shoals
νυνὶ δὲ καὶ τὰ μονόξυλα ἤδη σπάνια. ἅλες πορφυροῖ,
now but even the dugouts already rare salts purple
τριφθέντες δὲ λευκοί. ἔστι δὲ τῶν ὀρείων ὁ βίος
ground but white is and of-the mountaineers the life

οὗτος, ὥνπερ ἔφην, λέγω δὲ τοὺς τὴν βόρειον πλευρὰν
this of-whom-very I-spoke I-mean and those the northern side
ἀφορίζοντας τῆς Ἰβηρίας, Καλλαϊκοὺς καὶ Ἄστουρας καὶ
marking-off — of-Iberia Callaici and Astures and
Καντάβρους μέχρι Οὐασκώνων καὶ τῆς Πυρήνης· ὁμοειδεῖς
Cantabri as-far-as Vascones and the Pyrene of-like-form
γὰρ ἁπάντων οἱ βίοι. ὀκνῶ δὲ τοῖς ὀνόμασι πλεονάζειν
for of-all the lives I-shrink and in-the names to-be-excessive
φεύγων τὸ ἀηδὲς τῆς γραφῆς, εἰ μή τινι πρὸς ἡδονῆς
fleeing the unpleasant of-the writing if not to-someone for pleasure
ἐστιν ἀκούειν Πλευταύρους καὶ Βαρδυήτας καὶ Ἀλλότριγας
it-is to-hear Pleutauri and Bardyetae and Allotriges
καὶ ἄλλα χείρω καὶ ἀσημότερα τούτων ὀνόματα.
and other worse and more-obscure than-these names
τὸ δὲ δυσήμερον καὶ ἀγριῶδες οὐκ ἐκ τοῦ πολεμεῖν 8
the and intractability and wildness not from the to-make-war
συμβέβηκε μόνον ἀλλὰ καὶ διὰ τὸν ἐκτοπισμόν· καὶ γὰρ
has-happened only but also because-of the remoteness also for
ὁ πλοῦς ἐπ' αὐτοὺς μακρὸς καὶ αἱ ὁδοί, δυσεπίμικτοι δ'
the voyage to them long and the roads hard-to-reach and
ὄντες ἀποβεβλήκασι τὸ κοινωνικὸν καὶ τὸ φιλάνθρωπον.
being they-have-lost the sociability and the humanity
ἧττον δὲ νῦν τοῦτο πάσχουσι διὰ τὴν εἰρήνην καὶ
less but now this they-suffer because-of the peace and
τὴν τῶν Ῥωμαίων ἐπιδημίαν· ὅσοις δ' ἧττον τοῦτο
the of-the Romans sojourn to-as-many-as but less this
συμβαίνει, χαλεπώτεροί εἰσι καὶ θηριωδέστεροι. τοιαύτης
happens harsher are and more-beastlike such
δ' οὔσης καὶ ἀπὸ τῶν τόπων λυπρότητος ἐνίοις καὶ τῶν
and being also from the places poverty to-some also of-the
ὀρῶν, εἰκὸς ἐπιτείνεσθαι τὴν τοιαύτην ἀτοπίαν. ἀλλὰ
mountains likely to-be-intensified the such strangeness but

νῦν, ὡς εἶπον, πέπαυται πολεμοῦντα πάντα· τούς τε γὰρ
now as I-said has-stopped making-war all the both for
συνέχοντας ἔτι νῦν μάλιστα τὰ λῃστήρια Καντάβρους καὶ
holding-together still now most the robber-bands Cantabri and
τοὺς γειτονεύοντας αὐτοῖς κατέλυσεν ὁ Σεβαστὸς Καῖσαρ,
those neighboring them put-down — Augustus Caesar
καὶ ἀντὶ τοῦ πορθεῖν τοὺς τῶν Ῥωμαίων συμμάχους
and instead-of the to-plunder the of-the Romans allies
στρατεύουσι νῦν ὑπὲρ τῶν Ῥωμαίων οἵ τε Κωνιακοὶ καὶ
serve-in-war now for the Romans the both Coniaci and
οἱ πρὸς ταῖς πηγαῖς τοῦ Ἴβηρος οἰκοῦντες Πληντουίσοι.
those at the sources of-the Iberus living Plentuisi
ὅ τ' ἐκεῖνον διαδεξάμενος Τιβέριος τριῶν ταγμάτων
he both him having-succeeded Tiberius of-three legions
στρατιωτικὸν ἐπιστήσας τοῖς τόποις, τὸ ἀποδειχθὲν ὑπὸ
army having-set-over the places that appointed by
τοῦ Σεβαστοῦ Καίσαρος, οὐ μόνον εἰρηνικοὺς ἀλλὰ καὶ
— Augustus Caesar not only peaceable but also
πολιτικοὺς ἤδη τινὰς αὐτῶν ἀπεργασάμενος τυγχάνει.
civilized already some of-them having-made happens

The coast from the Pillars to the Pyrene is held by the Bastetani, Oretani, Edetani, and Indicetae. Malaca, a Phoenician city, comes first, then the Exitani and Abdera; in the mountains above lies Odysseia, whose temple of Athena, Asclepiades says, holds shields and ship's beaks from Odysseus' wandering, and Teucer's men are said to have settled among the Callaici. Strabo blames the Iberians' disunity for letting Carthaginians, Celts, Viriathus, and Sertorius master them and for the Romans' two centuries of war. New Carthage, Hasdrubal's foundation, is the strongest city; then the Sucro, the Massaliote towns with Hemeroscopeion, Sertorius' base, Saguntum, and Tarraco.

λοιπὴ δ' ἐστὶ τῆς Ἰβηρίας ἥ τε ἀπὸ τῶν στηλῶν μέχρι 1
remaining and is — of-Iberia the both from the Pillars as-far-as
τῆς Πυρήνης καθ' ἡμᾶς παραλία καὶ ἡ ταύτης ὑπερκειμένη
the Pyrene by us coast and the this lying-above
μεσόγαια πᾶσα, τὸ μὲν πλάτος ἀνώμαλος τὸ δὲ μῆκος
interior all in-the indeed breadth uneven in-the but length
μικρῷ πλειόνων ἢ τετρακισχιλίων σταδίων· τὸ δὲ τῆς
by-little more than four-thousand stades the and of-the
παραλίας ἔτι πλεῖον καὶ δισχιλίοις σταδίοις εἴρηται.
coast still more even by-two-thousand stades has-been-said
φασὶ δὲ ἀπὸ μὲν Κάλπης τοῦ κατὰ στήλας ὄρους
they-say and from indeed Calpe the at the-Pillars mountain
ἐπὶ Καρχηδόνα νέαν δισχιλίους καὶ διακοσίους σταδίους·
to Carthage New two-thousand and two-hundred stades
οἰκεῖσθαι δὲ τὴν ᾐόνα ταύτην ὑπὸ Βαστητανῶν οὓς καὶ
to-be-inhabited and the shore this by Bastetani whom also
Βαστούλους καλοῦσιν, ἐκ μέρους δὲ καὶ ὑπὸ Ὠρητανῶν.
Bastuli they-call in part and also by Oretani
ἐντεῦθεν δ' ἐπὶ τὸν Ἴβηρα ἄλλους τοσούτους σχεδόν
from-here and to the Iberus other as-many almost

τι (ταύτην δ' ἔχειν Ἐδητανούς), ἐντὸς δὲ τοῦ Ἴβηρος
somewhat this and to-hold Edetani inside and the Iberus
μέχρι Πυρήνης καὶ τῶν Πομπηίου ἀναθημάτων χιλίους καὶ
as-far-as Pyrene and the of-Pompey monuments thousand and
ἑξακοσίους· οἰκεῖν δὲ Ἐδητανῶν τε ὀλίγους καὶ λοιπὸν
six-hundred to-inhabit and of-Edetani both few and finally
τοὺς προσαγορευομένους Ἰνδικήτας μεμερισμένους τέτραχα.
those called Indicetae divided fourfold
2 κατὰ μέρος δὲ ἀπὸ Κάλπης ἀρξαμένοις ῥάχις ἐστὶν
by part and from Calpe for-those-having-begun ridge is
ὀρεινὴ τῆς Βαστητανίας καὶ τῶν Ὠρητανῶν δασεῖαν
mountainous — of-Bastetania and of-the Oretani thick
ὕλην ἔχουσα καὶ μεγαλόδενδρον, διορίζουσα τὴν παραλίαν
forest having and with-great-trees separating the coast
ἀπὸ τῆς μεσογαίας. πολλαχοῦ δὲ κἀνταῦθά ἐστι χρυσεῖα
from the interior in-many-places and also-here are gold-mines
καὶ ἄλλα μέταλλα. πόλις δ' ἐστὶν ἐν τῇ παραλίᾳ ταύτῃ
and other mines city and is on the coast this
πρώτη Μάλακα, ἴσον διέχουσα τῆς Κάλπης ὅσον καὶ
first Malaca equally distant from-the Calpe as-much-as also
τὰ Γάδειρα· ἐμπόριον δ' ἐστὶν τοῖς ἐν τῇ περαίᾳ νομάσι,
— Gades market and is for-the on the land-across nomads
καὶ ταριχείας δὲ ἔχει μεγάλας. ταύτην τινὲς τῇ Μαινάκῃ
also salting-works and has great this some — with-Maenaca
τὴν αὐτὴν νομίζουσιν, ἣν ὑστάτην τῶν Φωκαϊκῶν πόλεων
the same think which last of-the Phocaean cities
πρὸς δύσει κειμένην παρειλήφαμεν, οὐκ ἔστι δέ· ἀλλ' ἐκείνη
toward west lying we-have-received not it-is but but that
μὲν ἀπωτέρω τῆς Κάλπης ἐστί, κατεσκαμμένη, τὰ δ'
indeed farther from-the Calpe is razed the but
ἴχνη σώζουσα Ἑλληνικῆς πόλεως, ἡ δὲ Μάλακα πλησίον
traces preserving of-Greek city — but Malaca near

μᾶλλον, Φοινικικὴ τῷ σχήματι. ἐφεξῆς δ' ἐστὶν ἡ τῶν
rather Phoenician in-the shape next and is the of-the
Ἐξιτανῶν πόλις, ἐξ ἧς καὶ τὰ ταρίχη ἐπωνύμως λέγεται.
Exitani city from which also the salted-fish by-name are-called
μετὰ ταύτην Ἄβδηρα Φοινίκων κτίσμα καὶ αὐτή. ὑπὲρ 3
after this Abdera of-Phoenicians foundation also itself above
δὲ τῶν τόπων ἐν τῇ ὀρεινῇ δείκνυται Ὀδύσσεια
and the places in the mountainous-country is-shown Odysseia
καὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἐν αὐτῇ, ὡς Ποσειδώνιός τε
and the temple — of-Athena in it as Posidonius both
εἴρηκε καὶ Ἀρτεμίδωρος καὶ Ἀσκληπιάδης ὁ Μυρλεανός,
has-said and Artemidorus and Asclepiades the Myrlean
ἀνὴρ ἐν τῇ Τουρδητανίᾳ παιδεύσας τὰ γραμματικὰ καὶ
man in — Turdetania having-taught the grammar and
περιήγησίν τινα τῶν ἐθνῶν ἐκδεδωκὼς τῶν ταύτῃ. οὗτος
description some of-the nations having-published of-those here this-one
δέ φησιν ὑπομνήματα τῆς πλάνης τῆς Ὀδυσσέως ἐν
and says memorials of-the wandering the of-Odysseus in
τῷ ἱερῷ τῆς Ἀθηνᾶς ἀσπίδας προσπεπατταλεῦσθαι καὶ
the temple — of-Athena shields to-have-been-nailed-up and
ἀκροστόλια. ἐν Καλλαϊκοῖς δὲ τῶν μετὰ Τεύκρου
ship-beaks among Callaici and of-those with Teucer
στρατευσάντων τινὰς οἰκῆσαι, καὶ ὑπάρξαι πόλεις αὐτόθι,
having-campaigned some to-have-settled and to-have-existed cities there
τὴν μὲν καλουμένην Ἕλληνες τὴν δὲ Ἀμφίλοχοι,
the(-one) indeed called Hellenes the(-other) but Amphilochi
ὡς καὶ τοῦ Ἀμφιλόχου τελευτήσαντος δεῦρο καὶ τῶν
as also — Amphilochus having-died hither and those
συνόντων πλανηθέντων μέχρι τῆς μεσογαίας. καὶ τῶν μεθ'
with-him having-wandered as-far-as the interior and of-those with
Ἡρακλέους δέ τινας καὶ τῶν ἀπὸ Μεσσήνης ἱστορῆσθαί
Heracles and some and of-those from Messene to-have-been-recorded

φησιν ἐποικῆσαι τὴν Ἰβηρίαν, τῆς δὲ Κανταβρίας μέρος
he-says to-have-colonized — Iberia — and of-Cantabria part
τι κατασχεῖν Λάκωνας καὶ οὗτός φησι καὶ ἄλλοι. ἐνταῦθα
some to-have-occupied Laconians and this-one says and others there
δὲ καὶ Ὠκέλλαν πόλιν Ὠκέλλα κτίσμα λέγουσι τοῦ
and also Ocella city of-Ocelas foundation they-say of-the-one
μετὰ Ἀντήνορος καὶ τῶν παίδων αὐτοῦ διαβάντος εἰς τὴν
with Antenor and the sons his having-crossed into —
Ἰταλίαν. καὶ ἐν τῇ Λιβύῃ δὲ πεπιστεύκασί τινες τοῖς τῶν
Italy and in — Libya and have-believed some to-the of-the
Γαδειριτῶν ἐμπόροις προσέχοντες, ὡς καὶ Ἀρτεμίδωρος
Gaditani merchants attending as also Artemidorus
εἴρηκεν, ὅτι οἱ ὑπὲρ τῆς Μαυρουσίας οἰκοῦντες πρὸς
has-said that those beyond — Maurusia dwelling near
τοῖς ἑσπερίοις Αἰθίοψι Λωτοφάγοι καλοῦνται, σιτούμενοι
the western Ethiopians Lotus-eaters are-called eating
λωτόν, πόαν τινὰ καὶ ῥίζαν, οὐ δεόμενοι δὲ ποτοῦ, οὐδὲ
lotus plant some and root not needing and drink nor
ἔχοντες διὰ τὴν ἀνυδρίαν, διατείνοντες καὶ μέχρι τῶν
having because-of the waterlessness extending and as-far-as the
ὑπὲρ τῆς Κυρήνης τόπων. ἄλλοι τε πάλιν καλοῦνται
beyond — Cyrene places others both again are-called
Λωτοφάγοι τὴν ἑτέραν οἰκοῦντες τῶν πρὸ τῆς μικρᾶς
Lotus-eaters the other inhabiting of-the before the Little
Σύρτεως νήσων, τὴν Μήνιγγα.
Syrtis islands — Meninx

4 οὐ δὴ θαυμάζοι τις ἂν οὔτε τοῦ ποιητοῦ τὰ
not indeed would-wonder anyone — neither at-the poet the-things
περὶ τὴν Ὀδυσσέως πλάνην μυθογραφήσαντος τοῦτον τὸν
about the of-Odysseus wandering having-told-as-myth this the
τρόπον, ὥστ᾽ ἔξω στηλῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει τὰ
manner so-that outside the-Pillars in the Atlantic sea the

πολλὰ διαθέσθαι τῶν λεγομένων περὶ αὐτοῦ (τὰ γὰρ
most to-place of-the-things said about him the-things for
ἱστορούμενα ἐγγὺς ἦν καὶ τόποις καὶ τοῖς ἄλλοις τῶν ὑπ᾽
recorded near were both in-places and in-the other of-the by
ἐκείνου πεπλασμένων, ὥστε οὐκ ἀπίθανον ἐποίει τὸ πλάσμα),
him fabricated so-that not implausible he-made the fiction
οὔτ᾽ εἴ τινες αὐταῖς τε ταύταις ταῖς ἱστορίαις πιστεύσαντες
nor if some in-these-very both these the histories having-believed
καὶ τῇ πολυμαθείᾳ τοῦ ποιητοῦ καὶ πρὸς ἐπιστημονικὰς
and in-the much-learning of-the poet even toward scientific
ὑποθέσεις ἔτρεψαν τὴν Ὁμήρου ποίησιν, καθάπερ Κράτης
hypotheses turned the of-Homer poetry as Crates
τε ὁ Μαλλώτης ἐποίησε καὶ ἄλλοι τινές. οἱ δ᾽ οὕτως
both the of-Mallus did and others some those but so
ἀγροίκως ἐδέξαντο τὴν ἐπιχείρησιν τὴν τοιαύτην ὥστε
boorishly received the attempt the such that
οὐ μόνον τὸν ποιητὴν σκαπανέως ἢ θεριστοῦ δίκην ἐκ
not only the poet of-ditcher or of-reaper like from
πάσης τῆς τοιαύτης ἐπιστήμης ἐξέβαλον, ἀλλὰ καὶ τοὺς
all the such knowledge they-cast-out but also those
ἁψαμένους τῆς τοιαύτης πραγματείας μαινομένους ὑπέλαβον·
having-touched the such study mad supposed
συνηγορίαν δὲ ἢ ἐπανόρθωσιν ἤ τι τοιοῦτον ἕτερον εἰς
defense but or correction or anything such other for
τὰ λεχθέντα ὑπ᾽ ἐκείνων εἰσενεγκεῖν οὐκ ἐθάρρησεν οὔτε
the-things said by them to-bring-in not dared neither
τῶν γραμματικῶν οὔτε τῶν περὶ τὰ μαθήματα δεινῶν
of-the grammarians nor of-the about the mathematics skilled
οὐδείς. καίτοι ἔμοιγε δοκεῖ δυνατὸν εἶναι καὶ συνηγορῆσαι
no-one and-yet to-me-at-least it-seems possible to-be both to-defend
πολλοῖς τῶν λεχθέντων καὶ εἰς ἐπανόρθωσιν ἄγειν
many of-the-things said and to correction to-bring

καὶ μάλιστα ταῦτα ὅσα Πυθέας παρεκρούσατο τοὺς
and especially these as-many-as Pytheas misled those
πιστεύσαντας αὐτῷ κατὰ ἄγνοιαν τῶν τε ἑσπερίων τόπων
having-believed him through ignorance of-the both western places
καὶ τῶν προσβόρρων τῶν παρὰ τὸν ὠκεανόν. ἀλλὰ
and the northern those along the ocean but
ταῦτα μὲν ἐάσθω λόγον ἔχοντα ἴδιον καὶ μακρόν.
these-things indeed let-be-left argument having peculiar and long
τῆς δὲ τῶν Ἑλλήνων πλάνης τῆς εἰς τὰ βάρβαρα
of-the and of-the Greeks wandering the into the barbarian
ἔθνη νομίζοι τις ἂν αἴτιον τὸ διεσπάσθαι κατὰ
nations would-think anyone — cause the to-have-been-torn-apart into
μέρη μικρὰ καὶ δυναστείας ἐπιπλοκὴν οὐκ ἐχούσας πρὸς
parts small and dominions connection not having with
ἀλλήλους κατ᾽ αὐθάδειαν, ὥστε ἐκ τούτου πρὸς τοὺς
one-another through self-will so-that from this against those
ἐπιόντας ἔξωθεν ἀσθενεῖς εἶναι. τοῦτο δὲ τὸ αὔθαδες ἐν
attacking from-outside weak to-be this and the self-will among
δὴ τοῖς Ἴβηρσι μάλιστα ἐπέτεινε προσλαβοῦσι καὶ
indeed the Iberians most intensified having-taken-in-addition also
τὸ πανοῦργον φύσει καὶ τὸ μὴ ἁπλοῦν· ἐπιθετικοὶ γὰρ
the knavish by-nature and the not simple aggressive for
καὶ λῃστρικοὶ τοῖς βίοις ἐγένοντο τὰ μικρὰ τολμῶντες,
and piratical in-the lives they-became the small-things daring
μεγάλοις δ᾽ οὐκ ἐπιβαλλόμενοι διὰ τὸ μεγάλας μὴ
great but not attempting because-of the great not
κατασκευάζεσθαι δυνάμεις καὶ κοινωνίας. εἰ γὰρ δὴ
to-be-built-up powers and partnerships if for indeed
συνασπίζειν ἐβούλοντο ἀλλήλοις, οὔτε Καρχηδονίοις
to-fight-side-by-side they-had-wished with-one-another neither for-Carthaginians
ὑπῆρξεν ἂν καταστρέψασθαι ἐπελθοῦσι τὴν
it-would-have-been-possible — to-subdue having-attacked the

πλείστην αὐτῶν ἐκ περιουσίας, καὶ ἔτι πρότερον Τυρίοις,
most of-them from abundance and still earlier for-Tyrians
εἶτα Κελτοῖς οἳ νῦν Κελτίβηρες καὶ Βήρωνες καλοῦνται,
then for-Celts who now Celtiberians and Berones are-called
οὔτε τῷ λῃστῇ Οὐριάθῳ καὶ Σερτωρίῳ μετὰ ταῦτα καὶ εἴ
nor for-the robber Viriathus and Sertorius after these and if
τινες ἕτεροι δυναστείας ἐπεθύμησαν μείζονος. Ῥωμαῖοί τε
any others dominion desired greater Romans both
τῷ κατὰ μέρη πρὸς τοὺς Ἴβηρας πολεμεῖν καθ' ἑκάστην
by-the in parts against the Iberians to-make-war by each
διὰ ταύτην τὴν δυναστείαν πολύν τινα διετέλεσαν
because-of this the dominion long some continued
χρόνον, ἄλλοτ' ἄλλους καταστρεφόμενοι τέως ἕως
time at-one-time others subduing for-a-while until
ἅπαντας ὑποχειρίους ἔλαβον διακοσιοστῷ σχεδόν τι
all subject they-took in-two-hundredth almost somewhat
ἔτει ἢ μακρότερον. ἐπάνειμι δὲ ἐπὶ τὴν περιήγησιν.
year or longer I-return and to the description
μετὰ τοίνυν Ἄβδηρα ἔστι Καρχηδὼν ἡ νέα, κτίσμα 6
after then Abdera is Carthage the New foundation
Ἀσδρούβα τοῦ διαδεξαμένου Βάρκαν τὸν Ἀννίβα πατέρα,
of-Hasdrubal the(-one) having-succeeded Barcas the of-Hannibal father
κρατίστη πολὺ τῶν ταύτῃ πόλεων· καὶ γὰρ ἐρυμνή τ' ἐστὶ
strongest by-far of-the here cities also for strong both it-is
καὶ τείχει κατεσκευασμένῳ καλῶς καὶ λιμέσι καὶ λίμνῃ
and with-wall built well and with-harbors and lagoon
κεκόσμηται καὶ τοῖς τῶν ἀργυρίων μετάλλοις, περὶ ὧν
is-adorned and with-the of-the silver mines about which
εἰρήκαμεν· κἀνταῦθα δὲ καὶ ἐν τοῖς πλησίον τόποις πολλὴ
we-have-spoken also-here and and in the near places much
ἡ ταριχεία· καὶ ἔστι τοῦτο μέγιστον ἐμπόριον τῶν μὲν
the salting and is this greatest market of-the-things indeed

ἐκ θαλάττης τοῖς ἐν τῇ μεσογαίᾳ, τῶν δ' ἐκεῖθεν
from sea for-those in the interior of-the-things but from-there
τοῖς ἔξω πᾶσιν. ἡ δ' ἐνθένδε μέχρι τοῦ Ἴβηρος παραλία
for-the outside all the and from-here as-far-as the Iberus coast
κατὰ μέσον πως τὸ διάστημα ἔχει τὸν Σούκρωνα
in middle somehow the distance has the Sucro
ποταμὸν καὶ τὴν ἐκβολὴν αὐτοῦ καὶ πόλιν ὁμώνυμον·
river and the mouth its and city of-the-same-name
ῥεῖ δὲ ἐκ τοῦ συνεχοῦς ὄρους τῇ ὑπερκειμένῃ ῥάχει
flows and from the continuous mountain with-the lying-above ridge
τῆς τε Μαλάκας καὶ τῶν περὶ Καρχηδόνα τόπων,
— both of-Malaca and the about Carthage places
περατὸς πεζῇ, παράλληλος δέ πως τῷ Ἴβηρι, μικρὸν
fordable on-foot parallel and somehow to-the Iberus little
δὲ διέχει τῆς Καρχηδόνος ἢ τοῦ Ἴβηρος. μεταξὺ μὲν
and distant — from-Carthage than the Iberus between indeed
οὖν τοῦ Σούκρωνος καὶ τῆς Καρχηδόνος τρία πολίχνια
then the Sucro and — Carthage three small-towns
Μασσαλιωτῶν ἔστιν οὐ πολὺ ἄπωθεν τοῦ ποταμοῦ·
of-Massaliotes are not far off from-the river
τούτων δ' ἐστὶ γνωριμώτατον τὸ Ἡμεροσκοπεῖον ἔχον ἐπὶ
of-these and is best-known — Hemeroscopeion having on
τῇ ἄκρᾳ τῆς Ἐφεσίας Ἀρτέμιδος ἱερὸν σφόδρα τιμώμενον,
the headland of-the Ephesian Artemis temple very honored
ᾧ ἐχρήσατο Σερτώριος ὁρμητηρίῳ κατὰ θάλατταν·
which used Sertorius as-base by sea
ἐρυμνὸν γάρ ἐστι καὶ λῃστρικόν, κάτοπτον δὲ ἐκ πολλοῦ
strong for it-is and piratical visible and from far
τοῖς προσπλέουσι, καλεῖται δὲ Διάνιον, οἷον Ἀρτεμίσιον,
to-those sailing-toward is-called and Dianium as-it-were Artemisium
ἔχον σιδηρεῖα εὐφυῆ πλησίον καὶ νησίδια Πλανησίαν καὶ
having iron-mines well-situated near and islets Planesia and

Πλουμβαρίαν καὶ λιμνοθάλατταν ὑπερκειμένην, ἔχουσαν
Plumbaria and lagoon lying-above having
ἐν κύκλῳ σταδίους τετρακοσίους. εἶθ' ἡ τοῦ Ἡρακλέους
in circuit stades four-hundred then the — of-Heracles
νῆσος ἤδη πρὸς Καρχηδόνι, ἣν καλοῦσι Σκομβραρίαν
island already near Carthage which they-call Scombraria
ἀπὸ τῶν ἁλισκομένων σκόμβρων, ἐξ ὧν τὸ ἄριστον
from the caught mackerel from which the best
σκευάζεται γάρον· εἴκοσι δὲ διέχει σταδίους καὶ τέτταρας
is-prepared garum twenty and is-distant stades and four
τῆς Καρχηδόνος. πάλιν δ' ἐπὶ θάτερα τοῦ Σούκρωνος
— from-Carthage again and to the-other-side of-the Sucro
ἰόντι ἐπὶ τὴν ἐκβολὴν τοῦ Ἴβηρος Σάγουντον
for-one-going to the mouth of-the Iberus Saguntum
κτίσμα Ζακυνθίων, ἣν Ἀννίβας κατασκάψας παρὰ τὰ
foundation of-Zacynthians which Hannibal having-razed against the-things
συγκείμενα πρὸς Ῥωμαίους τὸν δεύτερον αὐτοῖς ἐξῆψε
agreed with Romans the second for-them kindled
πόλεμον πρὸς Καρχηδονίους. πλησίον δὲ πόλεις εἰσὶ
war against Carthaginians near and cities are
Χερρόνησός τε καὶ Ὀλέαστρον καὶ Καρταλίας· ἐπ' αὐτῇ
Cherronesus both and Oleastrum and Cartalias at itself
δὲ τῇ διαβάσει τοῦ Ἴβηρος Δέρτωσσα κατοικία. ῥεῖ δὲ ὁ
and the crossing of-the Iberus Dertossa settlement flows and the
Ἴβηρ ἀπὸ Καντάβρων ἔχων τὰς ἀρχὰς ἐπὶ μεσημβρίαν
Iberus from Cantabri having the sources toward south
διὰ πολλοῦ πεδίου παράλληλος τοῖς Πυρηναίοις ὄρεσι.
through great plain parallel to-the Pyrenaean mountains
μεταξὺ δὲ τῶν τοῦ Ἴβηρος ἐκτροπῶν καὶ τῶν ἄκρων τῆς 7
between and the of-the Iberus outlets and the headlands of-the
Πυρήνης, ἐφ' ὧν ἵδρυται τὰ ἀναθήματα τοῦ Πομπηίου,
Pyrene on which are-set the monuments — of-Pompey

πρώτη Ταρράκων ἐστὶ πόλις, ἀλίμενος μὲν ἐν κόλπῳ
first Tarraco is city harborless indeed in gulf
δὲ ἱδρυμένη καὶ κατεσκευασμένη τοῖς ἄλλοις ἱκανῶς καὶ
but situated and built in-the other-respects sufficiently and
οὐχ ἧττον εὐανδροῦσα νυνὶ τῆς Καρχηδόνος. πρὸς
not less well-peopled now — than-Carthage with-regard-to
γὰρ τὰς τῶν ἡγεμόνων ἐπιδημίας εὐφυῶς ἔχει, καὶ ἔστιν
for the of-the governors sojourns conveniently it-is and is
ὥσπερ μητρόπολις οὐ τῆς ἐντὸς Ἴβηρος μόνον ἀλλὰ καὶ
as metropolis not of-the inside Iberus only but also
τῆς ἐκτὸς τῆς πολλῆς. αἵ τε Γυμνήσιαι νῆσοι προκείμεναι
of-the outside the much the both Gymnesian islands lying-before
πλησίον καὶ ἡ Ἔβυσος, ἀξιόλογοι νῆσοι, τὴν θέσιν
near and — Ebusus notable islands the position
εὔκαιρον τῆς πόλεως ὑπαγορεύουσιν. Ἐρατοσθένης δὲ
well-placed of-the city suggest Eratosthenes and
καὶ ναύσταθμον ἔχειν φησὶν αὐτήν, οὐδὲ ἀγκυροβολίοις
even naval-station to-have says it not-even with-anchorages
σφόδρα εὐτυχοῦσαν, ὡς ἀντιλέγων εἴρηκεν Ἀρτεμίδωρος.
very fortunate as gainsaying has-said Artemidorus

North of the Iberus the coast is well harbored: Emporium, a Massaliote foundation, is a walled double city shared with the Indicetae, and the road from Pompey's trophies runs to Tarraco and Baetica. The interior is divided by the Idubeda and the Orospeda; between the Pyrene and the Idubeda flows the Iberus, past Caesar Augusta, near Ilerda and Osca, where Sertorius died and Caesar defeated Pompey's generals. The Pyrene is wooded on the Iberian side and bare on the Celtic, and its Cerretani cure famous hams. Celtiberia, beyond the Idubeda, falls into four parts; the Arevaci held Numantia, starved in the twenty-year war. Posidonius mocks Polybius' three hundred cities of Gracchus as towers, and Strabo agrees that Iberia's cities are mostly villages.

καὶ ἡ σύμπασα δ' ἀπὸ στηλῶν σπανίζεται λιμέσι μέχρι 8
and the whole and from the-Pillars is-scant in-harbors as-far-as
δεῦρο, ἐντεῦθεν δ' ἤδη τὰ ἑξῆς εὐλίμενα καὶ χώρα
here from-here and already the-parts next well-harbored and country
ἀγαθὴ τῶν τε Λεητανῶν καὶ Λαρτολαιητῶν καὶ ἄλλων
good of-the both Leetani and Lartolaeetae and others
τοιούτων μέχρι Ἐμπορίου. αὐτὸ δ' ἐστὶ Μασσαλιωτῶν
such as-far-as Emporium it and is of-Massaliotes
κτίσμα, ὅσον τετταράκοντα διέχον τῆς Πυρήνης
foundation as-much-as forty distant from-the Pyrene
σταδίους καὶ τῶν μεθορίων τῆς Ἰβηρίας πρὸς τὴν
stades and from-the borders — of-Iberia toward —
Κελτικήν· καὶ αὕτη δ' ἐστὶ πᾶσα ἀγαθὴ καὶ εὐλίμενος.
Celtica and this and is all good and well-harbored
ἐνταῦθα δ' ἔστι καὶ ἡ Ῥόδη πολίχνιον, Ἐμποριτῶν κτίσμα,
there and is also — Rhode small-town of-Emporitans foundation
τινὲς δὲ Ῥοδίων φασί· κἀνταῦθα δὲ καὶ ἐν τῷ Ἐμπορίῳ
some but of-Rhodians say and-here and also in — Emporium
τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν τιμῶσιν· ἐροῦμεν δὲ τὴν
— Artemis the Ephesian they-honor we-shall-tell and the

αἰτίαν ἐν τοῖς περὶ Μασσαλίαν. ᾤκουν δ' οἱ Ἐμπορῖται
cause in the-things about Massalia inhabited and the Emporitans
πρότερον νησίον τι προκείμενον, ὃ νῦν καλεῖται παλαιὰ
formerly islet some lying-before which now is-called Old
πόλις, νῦν δ' οἰκοῦσιν ἐν τῇ ἠπείρῳ. δίπολις δ' ἐστὶ τείχει
City now but they-inhabit on the mainland double-city and it-is by-wall
διωρισμένη, πρότερον τῶν Ἰνδικητῶν τινας προσοίκους
divided formerly of-the Indicetae some neighbors
ἔχουσα, οἳ καίπερ ἰδίᾳ πολιτευόμενοι κοινὸν ὅμως
having who although separately governing-themselves common nevertheless
περίβολον ἔχειν ἐβούλοντο πρὸς τοὺς Ἕλληνας ἀσφαλείας
circuit-wall to-have wished against the Greeks of-safety
χάριν, τῷ χρόνῳ δ' εἰς ταὐτὸ πολίτευμα συνῆλθον
for-the-sake in-the time and into the-same constitution they-came-together
μικτόν τι ἔκ τε βαρβάρων καὶ Ἑλληνικῶν νομίμων,
mixed some from both barbarian and Greek customs
ὅπερ καὶ ἐπ' ἄλλων πολλῶν συνέβη.
which-very also in-the-case-of others many happened
9 ῥεῖ δὲ καὶ ποταμὸς πλησίον, ἐκ τῆς Πυρήνης ἔχων τὰς
flows and also river near from the Pyrene having the
ἀρχάς, ἡ δὲ ἐκβολὴ λιμήν ἐστι τοῖς Ἐμπορίταις. λινουργοὶ
sources the and mouth harbor is for-the Emporitans linen-workers
δὲ ἱκανῶς οἱ Ἐμπορῖται· χώραν δὲ τὴν μεσόγαιαν
and sufficiently the Emporitans country and the interior
ἔχουσι τὴν μὲν ἀγαθὴν τὴν δὲ σπαρτοφόρον τῆς
they-have the(-one) indeed good the(-other) but rush-bearing of-the
ἀχρηστοτέρας καὶ ἑλείας σχοίνου, καλοῦσι δὲ Ἰουγκάριον
more-useless and marsh rush they-call and Juncarian
πεδίον· τινὲς δὲ καὶ τῶν τῆς Πυρήνης ἄκρων νέμονται
plain some and also of-the of-the Pyrene heights inhabit
μέχρι τῶν ἀναθημάτων τοῦ Πομπηίου, δι' ὧν βαδίζουσιν
as-far-as the monuments — of-Pompey through which they-walk

εἰς τὴν ἔξω καλουμένην Ἰβηρίαν ἐκ τῆς Ἰταλίας καὶ
into the outer called Iberia from — Italy and
μάλιστα τὴν Βαιτικήν. αὕτη δ' ἡ ὁδὸς ποτὲ μὲν
especially — Baetica this and the road at-times indeed
πλησιάζει τῇ θαλάττῃ ποτὲ δ' ἀφέστηκε, καὶ μάλιστα
approaches the sea at-times but stands-off and especially
ἐν τοῖς πρὸς ἑσπέραν μέρεσι. φέρεται δὲ ἐπὶ Ταρράκωνα,
in the toward west parts is-borne and to Tarraco
ἀπὸ τῶν ἀναθημάτων τοῦ Πομπηίου διὰ τοῦ Ἰουγκαρίου
from the monuments — of-Pompey through the Juncarian
πεδίου καὶ Βετέρων καὶ τοῦ Μαραθῶνος καλουμένου πεδίου
plain and Veteres and the of-Fennel called plain
τῇ Λατίνῃ γλώττῃ, φύοντος πολὺ τὸ μάραθον· ἐκ δὲ τοῦ
in-the Latin tongue growing much the fennel from and —
Ταρράκωνος ἐπὶ τὸν πόρον τοῦ Ἴβηρος κατὰ Δέρτωσσαν
Tarraco to the ford of-the Iberus at Dertossa
πόλιν· ἐντεῦθεν διὰ Σαγούντου καὶ Σαιτάβιος πόλεως
city from-here through Saguntum and Saetabis city
ἐνεχθεῖσα κατὰ μικρὸν ἀφίσταται τῆς θαλάττης καὶ
having-been-carried little-by little stands-away-from the sea and
συνάπτει τῷ Σπαρταρίῳ ὡς ἂν Σχοινοῦντι καλουμένῳ
joins the Spartarian as — Schoenus called
πεδίῳ· τοῦτο δ' ἐστὶ μέγα καὶ ἄνυδρον, τὴν σχοινοπλοκικὴν
plain this and is great and waterless the rope-making
φύον σπάρτον ἐξαγωγὴν ἔχουσαν εἰς πάντα τόπον καὶ
growing esparto exportation having to every place and
μάλιστα εἰς τὴν Ἰταλίαν. πρότερον μὲν οὖν διὰ μέσου
especially to — Italy formerly indeed then through middle
τοῦ πεδίου καὶ Ἐγελάστας συνέβαινεν εἶναι τὴν ὁδὸν
of-the plain and Egelasta it-happened to-be the road
χαλεπὴν καὶ πολλήν, νυνὶ δὲ ἐπὶ τὰ πρὸς θαλάττῃ μέρη
hard and long now but to the by sea parts

πεποιήκασιν αὐτήν, ἐπιψαύουσαν μόνον τοῦ Σχοινοῦντος, εἰς
they-have-made it touching only — Schoenus to
ταὐτὸ δὲ τείνουσαν τῇ προτέρᾳ, τὰ περὶ Καστλῶνα
the-same and tending with-the former the-places about Castlo
καὶ Ὀβούλκωνα, δι' ὧν εἴς τε Κορδύβην καὶ εἰς Γάδειρα
and Obulco through which to both Corduba and to Gades
ἡ ὁδός, τὰ μέγιστα τῶν ἐμπορίων. διέχει δὲ τῆς Κορδύβης
the road the greatest of-the markets is-distant and — from-Corduba
ἡ Ὀβούλκων περὶ τριακοσίους σταδίους. φασὶ δ' οἱ
— Obulco about three-hundred stades say and the
συγγραφεῖς ἐλθεῖν Καίσαρα ἐκ Ῥώμης ἑπτὰ καὶ εἴκοσιν
historians to-have-come Caesar from Rome in-seven and twenty
ἡμέραις εἰς τὴν Ὀβούλκωνα καὶ τὸ στρατόπεδον τὸ ἐνταῦθα,
days to — Obulco and the camp the there
ἡνίκα ἔμελλε συνάπτειν τὸν περὶ τὴν Μοῦνδαν πόλεμον.
when he-was-about to-join the about — Munda war
10 ἡ μὲν δὴ παραλία πᾶσα ἡ ἀπὸ στηλῶν μέχρι
the indeed indeed coast all the from the-Pillars as-far-as
τῆς μεθορίας τῆς Ἰβήρων καὶ Κελτῶν τοιαύτη. ἡ δ'
the border of-the Iberians and Celts such the but
ὑπερκειμένη μεσόγαια (λέγω δὲ τὴν ἐντὸς τῶν τε
lying-above interior I-mean and the inside of-the both
Πυρηναίων ὀρῶν καὶ τῆς προσαρκτίου πλευρᾶς μέχρι
Pyrenaean mountains and the northern side as-far-as
Ἀστύρων) δυεῖν μάλιστα ὄρεσι διορίζεται. τούτων δὲ τὸ
Astures by-two mostly mountains is-divided of-these and the
μὲν παράλληλόν ἐστι τῇ Πυρήνῃ, τὴν ἀρχὴν ἀπὸ τῶν
indeed parallel is to-the Pyrene the beginning from the
Καντάβρων ἔχον, τελευτὴν δ' ἐπὶ τὴν καθ' ἡμᾶς θάλατταν·
Cantabri having end but at the by us sea
καλοῦσι δὲ τοῦτο Ἰδουβέδαν· ἕτερον δ' ἀπὸ τοῦ μέσου
they-call and this Idubeda other and from the middle

διῆκον ἐπὶ τὴν δύσιν, ἐκκλῖνον δὲ πρὸς νότον καὶ τὴν
extending toward the west turning but toward south and the
ἀπὸ στηλῶν παραλίαν· ὃ κατ᾽ ἀρχὰς μὲν γεώλοφόν
from the-Pillars coast which at first indeed hilly
ἐστι καὶ ψιλόν, διέξεισι δὲ τὸ καλούμενον Σπαρτάριον
is and bare passes-through and the called Spartarian
πεδίον, εἶτα συνάπτει τῷ δρυμῷ τῷ ὑπερκειμένῳ τῆς τε
plain then joins the forest the lying-above of-the both
Καρχηδονίας καὶ τῶν περὶ τὴν Μάλακαν τόπων· καλεῖται
Carthaginian-country and the about — Malaca places is-called
δὲ Ὀροσπέδα. μεταξὺ μὲν δὴ τῆς Πυρήνης καὶ τῆς
and Orospeda between indeed indeed the Pyrene and the
Ἰδουβέδας ὁ Ἴβηρ ῥεῖ ποταμός, παράλληλος τοῖς ὄρεσιν
Idubeda the Iberus flows river parallel to-the mountains
ἀμφοτέροις, πληρούμενος ἐκ τῶν ἐντεῦθεν καταφερομένων
both filled from the from-here borne-down
ποταμῶν καὶ τῶν ἄλλων ὑδάτων. ἐπὶ δὲ τῷ Ἴβηρι πόλις
rivers and the other waters on and the Iberus city
ἐστὶ Καισαραυγοῦστα καλουμένη καὶ Κέλσα κατοικία
is Caesar-Augusta called and Celsa settlement
τις ἔχουσα γεφύρας λιθίνης διάβασιν. συνοικεῖται δὲ
some having of-bridge stone crossing is-inhabited and
ὑπὸ πλειόνων ἐθνῶν ἡ χώρα, γνωριμωτάτου δὲ τοῦ
by many nations the country best-known and of-the
τῶν Ἰακκητανῶν λεγομένου. τοῦτο δ᾽ ἀρξάμενον ἀπὸ
of-the Iaccetani called this and having-begun from
τῆς παρωρείας τῆς κατὰ τὴν Πυρήνην εἰς τὰ πεδία
the mountain-side the along the Pyrene into the plains
πλατύνεται καὶ συνάπτει τοῖς περὶ Ἰλέρδαν καὶ Ὄσκαν
broadens and joins the about Ilerda and Osca
χωρίοις, τοῖς τῶν Ἰλεργετῶν οὐ πολὺ ἄπωθεν τοῦ
places those of-the Ilergetes not far off from-the

Ἴβηρος. ἐν δὲ ταῖς πόλεσι ταύταις ἐπολέμει τὸ τελευταῖον
Iberus in and the cities these fought the last
Σερτώριος καὶ ἐν Καλαγούρι Οὐασκώνων πόλει καὶ τῆς
Sertorius and in Calagurris of-Vascones city and of-the
παραλίας ἐν Ταρράκωνι καὶ ἐν τῷ Ἡμεροσκοπείῳ μετὰ
coast in Tarraco and in — Hemeroscopeion after
τὴν ἐκ Κελτιβήρων ἔκπτωσιν, ἐτελεύτα δ' ἐν Ὄσκᾳ. κἀν
the from Celtiberians expulsion he-died and in Osca and-in
Ἰλέρδᾳ ὕστερον Ἀφράνιος καὶ Πετρήιος οἱ τοῦ Πομπηίου
Ilerda later Afranius and Petreius the — of-Pompey
στρατηγοὶ κατεπολεμήθησαν ὑπὸ Καίσαρος τοῦ θεοῦ.
generals were-defeated by Caesar the god
διέχει δὲ ἡ Ἰλέρδα τοῦ μὲν Ἴβηρος ὡς ἐπὶ δύσιν
is-distant and — Ilerda from-the indeed Iberus as toward west
ἰόντι σταδίους ἑκατὸν ἑξήκοντα, Ταρράκωνος δὲ πρὸς
for-one-going stades a-hundred sixty from-Tarraco and toward
νότον περὶ τετρακοσίους ἑξήκοντα, πρὸς ἄρκτον δὲ Ὄσκας
south about four-hundred sixty toward north and from-Osca
πεντακοσίους τετταράκοντα. διὰ τούτων δὲ τῶν μερῶν
five-hundred forty through these and the parts
ἡ ἐκ Ταρράκωνος ἐπὶ τοὺς ἐσχάτους ἐπὶ τῷ ὠκεανῷ
the from Tarraco to the farthest on the ocean
Οὐάσκωνας τοὺς κατὰ Πομπέλωνα καὶ τὴν ἐπ' αὐτῷ
Vascones those about Pompelo and the on itself
τῷ ὠκεανῷ Οἰασῶνα πόλιν ὁδός ἐστι σταδίων δισχιλίων
the ocean Oeaso city road is of-stades two-thousand
τετρακοσίων πρὸς αὐτὰ τὰ τῆς Ἀκυιτανίας ὅρια καὶ τῆς
four-hundred to the-very the — of-Aquitania boundaries and —
Ἰβηρίας. Ἰακκητανοὶ δ' εἰσὶν ἐν οἷς τότε μὲν Σερτώριος
of-Iberia Iaccetani and are among whom then indeed Sertorius
ἐπολέμει πρὸς Πομπήιον, ὕστερον δ' ὁ τοῦ Πομπηίου
fought against Pompey later but the — of-Pompey

υἱὸς Σέξτος πρὸς τοὺς Καίσαρος στρατηγούς. ὑπέρκειται
son Sextus against the of-Caesar generals lies-above
δὲ τῆς Ἰακκητανίας πρὸς ἄρκτον τὸ τῶν Οὐασκώνων
and — Iaccetania toward north the of-the Vascones
ἔθνος, ἐν ᾧ πόλις Πομπέλων ὡς ἂν Πομπηιόπολις.
nation in which city Pompelo as — Pompeiopolis
αὐτῆς δὲ τῆς Πυρήνης τὸ μὲν Ἰβηρικὸν πλευρὸν 11
of-itself and the Pyrene the indeed Iberian side
εὔδενδρόν ἐστι παντοδαπῆς ὕλης καὶ τῆς ἀειθαλοῦς, τὸ δὲ
well-wooded is with-all-kinds-of timber and the evergreen the but
Κελτικὸν ψιλόν, τὰ δὲ μέσα περιέχει καλῶς οἰκεῖσθαι
Celtic bare the and middle-parts contains well to-be-inhabited
δυναμένους αὐλῶνας. ἔχουσι δ' αὐτοὺς Κερρητανοὶ τὸ
able glens have and them Cerretani the
πλέον τοῦ Ἰβηρικοῦ φύλου, παρ' οἷς πέρναι διάφοροι
most of-the Iberian tribe among whom hams excellent
συντίθενται ταῖς Καντα βρικαῖς ἐνάμιλλοι, πρόσοδον οὐ
are-cured with-the Cantabrian rivaling revenue not
μικρὰν τοῖς ἀνθρώποις παρέχουσαι.
small to-the men providing
ὑπερβαλόντι δὲ τὴν Ἰδουβέδαν ἡ Κελτιβηρία παραχρῆμα 12
for-one-having-crossed and the Idubeda — Celtiberia at-once
πολλὴ καὶ ἀνώμαλος, τὸ μὲν πλέον αὐτῆς ἐστὶ τραχὺ καὶ
large and uneven the indeed greater of-it is rugged and
ποταμόκλυστον· διὰ γὰρ τούτων ὅ τε Ἄνας φέρεται καὶ ὁ
river-washed through for these the both Anas flows and the
Τάγος καὶ οἱ ἐφεξῆς ποταμοὶ οἱ πλείους οἱ ἐπὶ τὴν ἑσπερίαν
Tagus and the next rivers the most those to the western
θάλατταν καταφερόμενοι, τὴν ἀρχὴν ἔχοντες ἐκ τῆς
sea borne-down the beginning having from —
Ἰβηρίας· ὧν ὁ Δούριος φέρεται παρὰ τὴν Νομαντίαν καὶ
Iberia of-which the Durius flows past — Numantia and

τὴν Σεργουντίαν, ὁ δὲ Βαῖτις ἐκ τῆς Ὀροσπέδας τὰς ἀρχὰς
— Serguntia the but Baetis from the Orospeda the sources
ἔχων διὰ τῆς Ὠρητανίας εἰς τὴν Βαιτικὴν ῥεῖ. οἰκοῦσι δ'
having through — Oretania into — Baetica flows dwell and
ἐκ μὲν τῶν πρὸς ἄρκτον μερῶν τοῖς Κελτίβηρσι Βήρωνες
from indeed the toward north parts to-the Celtiberians Berones
Καντάβροις ὅμοροι τοῖς Κονίσκοις, καὶ αὐτοὶ τοῦ Κελτικοῦ
with-Cantabri bordering the Conisci also themselves of-the Celtic
στόλου γεγονότες, ὧν ἐστι πόλις Οὐαρία κατὰ τὴν τοῦ
expedition having-been of-whom is city Varia at the of-the
Ἴβηρος διάβασιν κειμένη· συνεχεῖς δ' εἰσὶ καὶ Βαρδυήταις,
Iberus crossing lying adjacent and are also to-Bardyetae
οὓς οἱ νῦν Βαρδούλους καλοῦσιν· ἐκ δὲ τοῦ ἑσπερίου τῶν
whom those now Barduli call from and the western of-the
τε Ἀστύρων τινὲς καὶ τῶν Καλλαϊκῶν καὶ Οὐακκαίων,
both Astures some and of-the Callaici and Vaccaei
ἔτι δὲ Οὐεττώνων καὶ Καρπητανῶν· ἐκ δὲ τῶν νοτίων
further and Vettones and Carpetani from and the southern
Ὠρητανοί τε καὶ ὅσοι ἄλλοι τὴν Ὀροσπέδαν οἰκοῦσι
Oretani both and as-many-as others the Orospeda inhabit
Βαστητανῶν τε καὶ Ἐδητανῶν· πρὸς ἕω δὲ Ἰδουβέδα.
of-Bastetani both and Edetani toward east and Idubeda
13 αὐτῶν τε τῶν Κελτιβήρων εἰς τέτταρα μέρη διῃρημένων
themselves both the Celtiberians into four parts divided
οἱ κράτιστοι μάλιστα πρὸς ἕω εἰσὶ καὶ πρὸς νότον οἱ
the strongest most toward east are and toward south the
Ἀρουάκοι, συνάπτοντες Καρπητανοῖς καὶ ταῖς τοῦ Τάγου
Arevaci bordering Carpetani and the of-the Tagus
πηγαῖς· πόλις δ' αὐτῶν ὀνομαστοτάτη Νομαντία. ἔδειξαν
sources city and their most-famous Numantia they-showed
δὲ τὴν ἀρετὴν τῷ Κελτιβηρικῷ πολέμῳ τῷ πρὸς Ῥωμαίους
and the valor in-the Celtiberian war the against Romans

εἰκοσαετεῖ γενομένῳ· πολλὰ γὰρ στρατεύματα σὺν ἡγεμόσιν
twenty-year having-been many for armies with commanders
ἐφθάρη, τὸ δὲ τελευταῖον οἱ Νομαντῖνοι πολιορκούμενοι
were-destroyed the but last the Numantines being-besieged
ἀπεκαρτέρησαν πλὴν ὀλίγων τῶν ἐνδόντων τὸ τεῖχος.
starved-themselves-to-death except few of-those having-surrendered the wall
καὶ οἱ Λούσωνες δὲ ἑῷοί εἰσι, συνάπτοντες καὶ αὐτοὶ
and the Lusones and eastern are bordering also themselves
ταῖς τοῦ Τάγου πηγαῖς. τῶν δ' Ἀρουάκων ἐστὶ καὶ
to-the of-the Tagus sources of-the and Arevaci is also
Σεγήδα πόλις καὶ Παλλαντία. διέχει δὲ Νομαντία τῆς
Segeda city and Pallantia is-distant and Numantia —
Καισαραυγούστας, ἣν ἔφαμεν ἐπὶ τῷ Ἴβηρι ἱδρῦσθαι,
from-Caesar-Augusta which we-said on the Iberus to-be-situated
σταδίους ἐπὶ ὀκτακοσίους. καὶ Σεγοβρίγα δ' ἐστὶ τῶν
stades for eight-hundred and Segobriga and is of-the
Κελτιβήρων πόλις καὶ Βίλβιλις, περὶ ἃς Μέτελλος καὶ
Celtiberians city and Bilbilis about which Metellus and
Σερτώριος ἐπολέμησαν. Πολύβιος δὲ τὰ τῶν Οὐακκαίων
Sertorius fought Polybius and the of-the Vaccaei
καὶ τῶν Κελτιβήρων ἔθνη καὶ χωρία διεξιὼν συλλέγει
and of-the Celtiberians nations and places going-through adds
ταῖς ἄλλαις πόλεσι καὶ Σεγεσάμαν καὶ Ἰντερκατίαν. φησὶ
to-the other cities also Segesama and Intercatia says
δὲ Ποσειδώνιος Μάρκον Μάρκελλον πράξασθαι φόρον ἐκ
and Posidonius Marcus Marcellus to-have-exacted tribute from
τῆς Κελτιβηρίας τάλαντα ἑξακόσια, ἐξ οὗ τεκμαίρεσθαι
— Celtiberia talents six-hundred from which to-infer
πάρεστιν ὅτι καὶ πολλοὶ ἦσαν οἱ Κελτίβηρες καὶ χρημάτων
it-is-possible that both many were the Celtiberians and in-money
εὐποροῦντες, καίπερ οἰκοῦντες χώραν παράλυπρον. Πολυβίου
abounding although inhabiting country poor Polybius

δ' εἰπόντος τριακοσίας αὐτῶν καταλῦσαι πόλεις Τιβέριον
and having-said three-hundred their to-have-destroyed cities Tiberius
Γράκχον, κωμῳδῶν φησι τοῦτο τῷ Γράκχῳ χαρίσασθαι
Gracchus mocking he-says this — to-Gracchus to-have-granted-as-a-favor
τὸν ἄνδρα, τοὺς πύργους καλοῦντα πόλεις, ὥσπερ ἐν ταῖς
the man the towers calling cities as in the
θριαμβικαῖς πομπαῖς. καὶ ἴσως οὐκ ἄπιστον τοῦτο λέγει·
triumphal processions and perhaps not incredible this he-says
καὶ γὰρ οἱ στρατηγοὶ καὶ οἱ συγγραφεῖς ῥᾳδίως ἐπὶ
also for the generals and the historians easily to
τοῦτο φέρονται τὸ ψεῦσμα καλλωπίζοντες τὰς πράξεις,
this are-borne the falsehood embellishing the deeds
ἐπεὶ καὶ οἱ φάσκοντες πλείους ἢ χιλίας τὰς τῶν
since also those asserting more than thousand the of-the
Ἰβήρων ὑπάρξαι πόλεις ἐπὶ τοῦτο φέρεσθαί μοι δοκοῦσι,
Iberians to-be cities to this to-be-borne to-me seem
τὰς μεγάλας κώμας πόλεις ὀνομάζοντες. οὔτε γὰρ ἡ τῆς
the great villages cities naming neither for the of-the
χώρας φύσις πόλεων ἐπιδεκτικὴ πολλῶν ἐστι διὰ τὴν
country nature of-cities admitting many is because-of the
λυπρότητα ἢ διὰ τὸν ἐκτοπισμὸν καὶ τὸ ἀνήμερον, οὔθ'
poverty or because-of the remoteness and the wildness nor
οἱ βίοι καὶ πράξεις αὐτῶν (ἔξω τῶν κατὰ τὴν παραλίαν
the lives and deeds their outside those along the coast
τὴν καθ' ἡμᾶς) ὑπαγορεύουσι τοιοῦτον οὐδέν· ἄγριοι γὰρ
the by us suggest such nothing wild for
οἱ κατὰ κώμας οἰκοῦντες· τοιοῦτοι δ' οἱ πολλοὶ τῶν
those in villages dwelling such and the many of-the
Ἰβήρων· αἱ δὲ πόλεις ἡμεροῦσιν οὐδ' αὗται ῥᾳδίως, ὅταν
Iberians the but cities tame not-even these easily when
πλεονάζῃ τὸ τὰς ὕλας ἐπὶ κακῷ τῶν πλησίον οἰκοῦν.
abounds the the forests for harm of-the neighbors inhabiting

Beyond the Celtiberians to the south live the Edetani, Bastetani, and Oretani. The Iberians are light-armed, with javelin, sling, and sword, and horses trained to climb and kneel; the land breeds gazelles, wild horses, and beavers, and the coast abounds in olive, vine, and fig. The north is savage: the Cantabri wash in stale urine, mothers kill their children before capture, crucified captives sing paeans, and plagues of mice beset the Romans; yet there husbands give dowries to wives and daughters inherit. The country's divisions are uncertain; now Baetica belongs to the people, the rest to Caesar, who sends a legate for Lusitania and a consular governor with three legions for the rest.

μετὰ δὲ τοὺς Κελτίβηρας πρὸς νότον εἰσὶν οἱ τὸ ὄρος 14
after and the Celtiberians toward south are those the mountain
οἰκοῦντες τὴν Ὀροσπέδαν καὶ τὴν περὶ τὸν Σούκρωνα
inhabiting the Orospeda and the about the Sucro
χώραν Ἐδητανοί, μέχρι Καρχηδόνος, καὶ Βαστητανοὶ καὶ
country Edetani as-far-as Carthage and Bastetani and
Ὠρητανοί, σχεδὸν δέ τι καὶ μέχρι Μαλάκας.
Oretani almost and somewhat also as-far-as Malaca
πελτασταὶ δ' ἅπαντες, ὡς εἰπεῖν, ὑπῆρξαν οἱ Ἴβηρες καὶ 15
light-armed and all as to-say were the Iberians and
κοῦφοι κατὰ τὸν ὁπλισμὸν διὰ τὰς λῃστείας, οἵους
light in the armor because-of the robberies such-as
ἔφαμεν τοὺς Λυσιτανούς, ἀκοντίῳ καὶ σφενδόνῃ καὶ μαχαίρᾳ
we-said the Lusitanians with-javelin and sling and sword
χρώμενοι· ταῖς δὲ πεζαῖς δυνάμεσι παρεμέμικτο καὶ
using with-the and foot forces was-mixed also
ἱππεία, δεδιδαγμένων ἵππων ὀρειβατεῖν καὶ κατοκλάζεσθαι
cavalry of-trained horses to-climb-mountains and to-kneel
ῥᾳδίως ἀπὸ προστάγματος, ὅτε τούτου δέοι. φέρει δ'
easily at command when this it-was-needful produces and

ἡ Ἰβηρία δορκάδας πολλὰς καὶ ἵππους ἀγρίους. ἔστι δ'
— Iberia gazelles many and horses wild it-is and
ὅπου καὶ αἱ λίμναι πληθύουσιν ὀρνέοις. εἰσὶ δὲ κύκνοι
where also the lakes abound with-birds there-are and swans
καὶ τὰ παραπλήσια, πολλαὶ δὲ καὶ ὠτίδες· κάστορας
and the like many and also bustards beavers
φέρουσι μὲν οἱ ποταμοί, τὸ δὲ καστόριον οὐκ ἔχει τὴν
produce indeed the rivers the but castoreum not has the
αὐτὴν δύναμιν τῷ Ποντικῷ· ἴδιον γὰρ τῷ Ποντικῷ
same power with-the Pontic peculiar for to-the Pontic
πάρεστι τὸ φαρμακῶδες, καθάπερ ἄλλοις πολλοῖς. ἐπεί,
belongs the medicinal as to-others many since
φησὶν ὁ Ποσειδώνιος, καὶ ὁ Κύπριος χαλκὸς μόνος φέρει
says — Posidonius also the Cyprian copper alone yields
τὴν καδμείαν λίθον καὶ τὸ χαλκανθὲς καὶ τὸ σπόδιον. ἴδιον
the cadmean stone and the copper-bloom and the ash peculiar
δ' εἴρηκεν Ἰβηρίᾳ ὁ Ποσειδώνιος καὶ τὸ τὰς κορώνας
and has-mentioned to-Iberia — Posidonius also the the crows
μελαίνας εἶναι καὶ τὸ τοὺς ἵππους τῶν Κελτιβήρων
black to-be and the the horses of-the Celtiberians
ὑποψάρους ὄντας, ἐπειδὰν εἰς τὴν ἔξω μεταχθῶσιν Ἰβηρίαν,
dapple-gray being when into the outer they-are-transferred Iberia
μεταβάλλειν τὴν χρόαν. ἐοικέναι δὲ τοῖς Παρθικοῖς· καὶ
to-change the color to-resemble and the Parthian also
γὰρ ταχεῖς εἶναι καὶ εὐδρόμους μᾶλλον τῶν ἄλλων.
for swift to-be and good-runners more than-the others
16 καὶ τῶν ῥιζῶν τῶν εἰς βαφὴν χρησίμων πλῆθος. ἐλαίας δὲ
and of-the roots the for dyeing useful multitude of-olive and
πέρι καὶ ἀμπέλου καὶ συκῆς καὶ τῶν παραπλησίων φυτῶν
about and vine and fig and the similar plants
ἡ καθ' ἡμᾶς Ἰβηρικὴ παραλία πάντων εὐπορεῖ, συχνὴ δὲ
the by us Iberian coast in-all abounds frequent and

καὶ *** τῶν ἐκτὸς ἡ μὲν παρωκεανῖτις ἡ πρόσβορρος
also (lacuna) of-the outer the indeed coast-of-the-ocean the northern
ἀμοιρεῖ διὰ τὰ ψύχη, ἡ δ' ἄλλη τὸ πλέον διὰ τὴν
has-no-share because-of the colds the but other the most because-of the
ὀλιγωρίαν τῶν ἀνθρώπων καὶ τὸ μὴ πρὸς διαγωγὴν ἀλλὰ
negligence of-the men and the not for refinement but
μᾶλλον πρὸς ἀνάγκην καὶ ὁρμὴν θηριώδη μετὰ ἔθους
rather for necessity and impulse beastlike with habit
φαύλου ζῆν· εἰ μή τις οἴεται πρὸς διαγωγὴν ζῆν τοὺς
base to-live if not anyone thinks for refinement to-live those
οὔρῳ λουομένους ἐν δεξαμεναῖς παλαιουμένῳ, καὶ τοὺς
with-urine washing-themselves in cisterns aged and the
ὀδόντας σμηχομένους καὶ αὐτοὺς καὶ τὰς γυναῖκας αὐτῶν,
teeth rubbing both themselves and the wives their
καθάπερ τοὺς Καντάβρους φασὶ καὶ τοὺς ὁμόρους αὐτοῖς.
as the Cantabri they-say and those bordering them
καὶ τοῦτό τε καὶ τὸ χαμευνεῖν κοινόν ἐστι τοῖς Ἴβηρσι
and this both and the to-sleep-on-the-ground common is for-the Iberians
πρὸς τοὺς Κελτούς. ἔνιοι δὲ τοὺς Καλλαϊκοὺς ἀθέους φασί,
with the Celts some and the Callaici godless say
τοὺς δὲ Κελτίβηρας καὶ τοὺς προσβόρρους τῶν ὁμόρων
the but Celtiberians and those to-the-north of-the neighbors
αὐτοῖς ἀνωνύμῳ τινὶ θεῷ ταῖς πανσελήνοις νύκτωρ πρὸ
to-them to-unnamed some god at-the full-moons by-night before
τῶν πυλῶν, πανοικίους τε χορεύειν καὶ παννυχίζειν.
the doors with-all-the-household both to-dance and to-keep-all-night-festival
τοὺς δὲ Οὐέττωνας, ὅτε πρῶτον εἰς τὸ τῶν Ῥωμαίων
the but Vettones when first into the of-the Romans
παρῆλθον στρατόπεδον, ἰδόντας τῶν ταξιαρχῶν τινας
came camp having-seen of-the officers some
ἀνακάμπτοντας ἐν ταῖς ὁδοῖς περιπάτου χάριν, μανίαν
walking-up-and-down in the streets of-walk for-the-sake madness

ὑπολαβόντας ἡγεῖσθαι τὴν ὁδὸν αὐτοῖς ἐπὶ τὰς σκηνάς,
supposing to-lead the way for-them to the tents
ὡς δέον ἢ μένειν καθ᾽ ἡσυχίαν ἱδρυθέντας ἢ μάχεσθαι.
as needful either to-remain in quiet seated or to-fight
17 τῆς δὲ βαρβαρικῆς ἰδέας καὶ τὸν τῶν γυναικῶν ἐνίων
of-the and barbarian form also the of-the women some
κόσμον θείη τις ἄν, ὃν εἴρηκεν Ἀρτεμίδωρος· ὅπου
adornment would-place anyone — which has-described Artemidorus where
μὲν γὰρ περιτραχήλια σιδηρᾶ φορεῖν αὐτάς φησιν ἔχοντα
indeed for neck-rings of-iron to-wear them he-says having
κόρακας καμπτομένους ὑπὲρ κορυφῆς καὶ προπίπτοντας
hooks bending over crown and projecting
πρὸ τοῦ μετώπου πολύ, κατὰ τούτων δὲ τῶν κοράκων,
before the forehead far over these and the hooks
ὅτε βούλονται, κατασπᾶν τὸ κάλυμμα ὥστε ἐμπετασθὲν
when they-wish to-draw-down the veil so-that spread-out
σκιάδιον τῷ προσώπῳ παρέχειν, καὶ νομίζειν κόσμον·
shade to-the face to-provide and to-think adornment
ὅπου δὲ τυμπάνιον περικεῖσθαι πρὸς μὲν τῷ ἰνίῳ
where but small-drum to-be-put-round at indeed the back-of-the-head
περιφερὲς καὶ σφίγγον τὴν κεφαλὴν μέχρι τῶν παρωτίδων,
round and binding-tight the head as-far-as the ear-lobes
εἰς ὕψος δὲ καὶ πλάτος ἐξυπτιασμένον κατ᾽ ὀλίγον· ἄλλας
into height and also breadth spreading-out little-by little others
δὲ τὰ προκόμια ψιλοῦν ἐπὶ τοσοῦτον ὥστ᾽ ἀποστίλβειν
and the forelocks to-make-bare for so-far so-that to-shine
τοῦ μετώπου μᾶλλον· τὰς δ᾽ ὅσον ποδιαῖον τὸ ὕψος
of-the forehead more others and as-much-as foot-high the height
ἐπιθεμένας στυλίσκον περιπλέκειν αὐτῷ τὴν χαίτην, εἶτα
having-put-on small-pillar to-twine-round it the hair then
καλύπτρᾳ μελαίνῃ περιστέλλειν. πρὸς δὲ τῇ ἀηθείᾳ
with-veil black to-wrap besides and the strangeness

τῇ τοιαύτῃ πολλὰ καὶ ἑώραται καὶ μεμύθευται περὶ
the such many-things both have-been-seen and told-in-myth about
πάντων κοινῇ τῶν Ἰβηρικῶν ἐθνῶν, διαφερόντως δὲ τῶν
all in-common the Iberian nations especially and of-the
προσβόρρων, οὐ μόνον τὰ πρὸς ἀνδρείαν ἀλλὰ καὶ
northern not only the-things toward courage but also
τὰ πρὸς ὠμότητα καὶ ἀπόνοιαν θηριώδη. καὶ γὰρ τέκνα
the-things toward cruelty and madness beastlike also for children
μητέρες ἔκτειναν πρὶν ἁλῶναι κατὰ τὸν πόλεμον τὸν
mothers killed before to-be-captured in the war the
ἐν Καντάβροις, καὶ παιδίον δὲ δεδεμένων αἰχμαλώτων
among Cantabri and little-boy and bound captives
τῶν γονέων καὶ ἀδελφῶν ἔκτεινε πάντας κελεύσαντος τοῦ
the parents and brothers killed all having-ordered the
πατρὸς σιδήρου κυριεῦσαν, γυνὴ δὲ τοὺς συναλόντας.
father of-iron having-got-possession woman and those captured-with-her
κληθεὶς δέ τις εἰς μεθυσκομένους ἔβαλεν αὑτὸν εἰς
having-been-invited and someone to drinking-men threw himself into
πυράν. κοινὰ δὲ καὶ ταῦτα πρὸς τὰ Κελτικὰ ἔθνη καὶ τὰ
pyre common and also these-things with the Celtic nations and the
Θρᾴκια καὶ Σκυθικά, κοινὰ δὲ καὶ πρὸς ἀνδρείαν τήν
Thracian and Scythian common and also with-respect-to courage the
τε τῶν ἀνδρῶν καὶ τὴν τῶν γυναικῶν. γεωργοῦσιν αὗται
both of-the men and that of-the women farm these
τεκοῦσαί τε διακονοῦσι τοῖς ἀνδράσιν ἐκείνους ἀνθ'
having-given-birth both serve the husbands those instead-of
ἑαυτῶν κατακλίνασαι· ἔν τε τοῖς ἔργοις πολλάκις αὐταὶ καὶ
themselves having-put-to-bed in both the works often themselves and
λούουσι καὶ σπαργανοῦσιν ἀποκλίνασαι πρός τι ῥεῖθρον. ἐν
bathe and swaddle having-turned-aside to some stream in
δὲ τῇ Λιγυστικῇ φησὶν ὁ Ποσειδώνιος διηγήσασθαι τὸν ξένον
and — Liguria says — Posidonius to-have-related the host

ἑαυτῷ Χαρμόλεων Μασσαλιώτην ἄνδρα, ὅτι μισθώσαιτο
his-own Charmoleon Massaliote man that he-hired
ἄνδρας ὁμοῦ καὶ γυναῖκας ἐπὶ σκαφητόν, ὠδίνασα δὲ μία
men together and women for digging having-labor-pains and one
τῶν γυναικῶν ἀπέλθοι ἀπὸ τοῦ ἔργου πλησίον, τεκοῦσα
of-the women went-away from the work near having-given-birth
δ' ἐπανέλθοι ἐπὶ τοὖργον αὐτίκα, ὅπως μὴ ἀπολέσειε τὸν
and came-back to the-work at-once so-that not she-might-lose the
μισθόν· αὐτὸς δὲ ἐπιπόνως ἰδὼν ἐργαζομένην, οὐκ εἰδὼς
wage he and laboriously having-seen working not knowing
τὴν αἰτίαν πρότερον ὀψὲ μάθοι καὶ ἀφείη δοὺς τὸν
the cause before late learned and released having-given the
μισθόν· ἡ δ' ἐκκομίσασα τὸ νήπιον πρός τι κρηνίον,
wage she and having-carried-out the infant to some little-spring
λούσασα καὶ σπαργανώσασα οἷς εἶχε διασώσειεν οἴκαδε.
having-washed and having-swaddled with-what she-had brought-safe home
18 οὐκ ἴδιον δὲ τῶν Ἰβήρων οὐδὲ τοῦτο σύνδυο ἐφ'
not peculiar and to-the Iberians not-even this two-together on
ἵππων κομίζεσθαι, κατὰ δὲ τὰς μάχας τὸν ἕτερον
horses to-be-carried in and the battles the one
πεζὸν ἀγωνίζεσθαι. οὐδὲ τὸ τῶν μυῶν πλῆθος ἴδιον, ἀφ'
on-foot to-fight nor the of-the mice multitude peculiar from
οὗ καὶ λοιμικαὶ νόσοι πολλάκις ἠκολούθησαν. συνέβη
which also pestilential diseases often followed it-happened
δ' ἐν τῇ Κανταβρίᾳ τοῦτο τοῖς Ῥωμαίοις, ὥστε καὶ
and in — Cantabria this to-the Romans so-that even
μισθοὺς ἄρνυσθαι μυοθηροῦντας πρὸς μέτρον ἀποδειχθέν,
wages to-earn mouse-catching at rate appointed
διεσώζοντο μόλις· προσελάμβανε δὲ καὶ ἄλλων σπάνις
they-came-through hardly was-added and also of-other-things scarcity
καὶ σίτου· ἐπεσιτίζοντο δὲ ἐκ τῆς Ἀκυιτανίας χαλεπῶς
and of-grain they-were-supplied and from — Aquitania with-difficulty

διὰ τὰς δυσχωρίας. τῆς δ᾽ ἀπονοίας καὶ τοῦτο λέγεται
because-of the rough-ground of-the and madness also this is-told
τῆς Καντάβρων, ὅτι ἁλόντες τινὲς ἀναπεπηγότες ἐπὶ τῶν
of-the Cantabri that captured some nailed on the
σταυρῶν ἐπαιάνιζον. τὰ μὲν οὖν τοιαῦτα τῶν ἠθῶν
crosses sang-paeans the-things indeed then such of-the customs
ἀγριότητός τινος παραδείγματ᾽ ἂν εἴη· τὰ δὲ τοιαῦτα
of-savagery some examples — would-be the-things but such
ἧττον μὲν ἴσως πολιτικά, οὐ θηριώδη δέ, οἷον τὸ παρὰ
less indeed perhaps civilized not beastlike but such-as the among
τοῖς Καντάβροις τοὺς ἄνδρας διδόναι ταῖς γυναιξὶ προῖκα
the Cantabri the husbands to-give to-the wives dowry
τὸ τὰς θυγατέρας κληρονόμους ἀπολείπεσθαι τούς τε
the the daughters heirs to-be-left the both
ἀδελφοὺς ὑπὸ τούτων ἐκδίδοσθαι γυναιξίν· ἔχει γάρ
brothers by these to-be-given-in-marriage to-wives it-has for
τινα γυναικοκρατίαν· τοῦτο δ᾽ οὐ πάνυ πολιτικόν. Ἰβηρικὸν
some woman-rule this but not very civilized Iberian
δὲ καὶ τὸ ἐν ἔθει παρατίθεσθαι τοξικὸν ὃ συντιθέασιν ἐκ
and also the in custom to-keep-at-hand poison which they-compound from
βοτάνης σελίνῳ προσομοίας ἄπονον, ὥστ᾽ ἔχειν ἐν ἑτοίμῳ
herb to-celery like painless so-as to-have in readiness
πρὸς τὰ ἀβούλητα, καὶ τὸ κατασπένδειν αὑτοὺς οἷς
for the unwished-for-things and the to-devote themselves to-whomever
ἂν προσθῶνται, ὥστε ἀποθνήσκειν αὐτοὺς ὑπὲρ αὐτῶν.
— they-attach-themselves so-that to-die themselves for them
τινὲς μὲν οὖν εἰς τέτταρα μέρη διῃρῆσθαί φασι τὴν 19
some indeed then into four parts to-have-been-divided say the
χώραν ταύτην, καθάπερ εἴπομεν, ἄλλοι δὲ πενταμερῆ
country this as we-said others but five-part
λέγουσιν. οὐκ ἔστι δὲ τἀκριβὲς ἐν τούτοις ἀποδιδόναι
say not it-is-possible and the-exact in these to-render

διὰ τὰς μεταβολὰς καὶ τὴν ἀδοξίαν τῶν τόπων. ἐν
because-of the changes and the obscurity of-the places in
γὰρ τοῖς γνωρίμοις καὶ ἐνδόξοις αἵ τε μεταναστάσεις
for the known and famous the both migrations
γνώριμοι καὶ οἱ μερισμοὶ τῆς χώρας καὶ αἱ μεταβολαὶ
known and the divisions of-the country and the changes
τῶν ὀνομάτων καὶ εἴ τι ἄλλο παραπλήσιον· θρυλεῖται
of-the names and if anything other similar is-prated
γὰρ ὑπὸ πολλῶν καὶ μάλιστα τῶν Ἑλλήνων. ὅσα
for by many and especially the Greeks as-many-as
δὲ καὶ βάρβαρα καὶ ἐκτετοπισμένα καὶ μικρόχωρα καὶ
but both barbarous and remote and small and
διεσπασμένα, τούτων ὑπομνήματα οὔτ' ἀσφαλῆ ἐστιν οὔτε
scattered of-these records neither safe are nor
πολλά· ὅσα δὲ δὴ πόρρω τῶν Ἑλλήνων ἐπιτείνει τὴν
many as-many-as but indeed far from-the Greeks it-intensifies the
ἄγνοιαν. οἱ δὲ τῶν Ῥωμαίων συγγραφεῖς μιμοῦνται μὲν
ignorance the and of-the Romans historians imitate indeed
τοὺς Ἕλληνας, ἀλλ' οὐκ ἐπὶ πολύ· καὶ γὰρ ἃ λέγουσι
the Greeks but not for far also for what-things they-say
παρὰ τῶν Ἑλλήνων μεταφέρουσιν, ἐξ ἑαυτῶν δ' οὐ πολὺ
from the Greeks they-transfer from themselves but not much
μὲν προσφέρονται τὸ φιλείδημον ὥσθ', ὁπόταν ἔλλειψις
indeed they-bring-forward the love-of-knowledge so-that whenever omission
γένηται παρ' ἐκείνων, οὐκ ἔστι πολὺ τὸ ἀναπληρούμενον
occurs by them not is much the filled-up
ὑπὸ τῶν ἑτέρων, ἄλλως τε καὶ τῶν ὀνομάτων, ὅσα
by the others especially — and of-the names as-many-as
ἐνδοξότατα, τῶν πλείστων ὄντων Ἑλληνικῶν· ἐπεὶ καὶ
most-famous of-the most being Greek since also
Ἰβηρίαν ὑπὸ μὲν τῶν προτέρων καλεῖσθαι πᾶσαν τὴν
Iberia by indeed the earlier to-be-called all the

ἔξω τοῦ Ῥοδανοῦ καὶ τοῦ ἰσθμοῦ τοῦ ὑπὸ τῶν Γαλατικῶν
outside the Rhodanus and the isthmus the by the Galatic
κόλπων σφιγγομένου, οἱ δὲ νῦν ὅριον αὐτῆς τίθενται τὴν
gulfs compressed the but present boundary of-it set the
Πυρήνην, συνωνύμως τε τὴν αὐτὴν Ἰβηρίαν λέγουσι καὶ
Pyrene with-the-same-name both the same Iberia they-call and
Ἱσπανίαν· μόνην ἐκάλουν τὴν ἐντὸς τοῦ Ἴβηρος· οἱ
Hispania alone called the inside the Iberus the(-others)
δ' ἔτι πρότερον αὐτοὺς τούτους Ἰγλῆτας, οὐ πολλὴν
but still earlier themselves these Igletes not much
χώραν νεμομένους, ὥς φησιν Ἀσκληπιάδης ὁ Μυρλεανός.
country inhabiting as says Asclepiades the Myrlean
Ῥωμαῖοι δὲ τὴν σύμπασαν καλέσαντες συνωνύμως
Romans and the whole having-called with-the-same-name
Ἰβηρίαν τε καὶ Ἱσπανίαν τὸ μὲν αὐτῆς μέρος εἶπον
Iberia both and Hispania the indeed of-it part called
τὴν ἐκτὸς τὸ δὲ ἕτερον τὴν ἐντός· ἄλλοτε δ' ἄλλως
the outer the but other the inner at-one-time and otherwise
διαιροῦσι πρὸς τοὺς καιροὺς πολιτευόμενοι.
they-divide according-to the occasions governing
νυνὶ δὲ τῶν ἐπαρχιῶν τῶν μὲν ἀποδειχθεισῶν τῷ δήμῳ
now but of-the provinces the(-ones) indeed having-been-assigned to-the people
τε καὶ τῇ συγκλήτῳ τῶν δὲ τῷ ἡγεμόνι τῶν Ῥωμαίων,
both and the senate the(-others) but to-the emperor of-the Romans
ἡ μὲν Βαιτικὴ πρόσκειται τῷ δήμῳ, καὶ πέμπεται
— indeed Baetica belongs to-the people and is-sent
στρατηγὸς ἐπ' αὐτὴν ἔχων ταμίαν τε καὶ πρεσβευτήν·
praetor to it having quaestor both and legate
ὅριον δ' αὐτῆς τεθείκασι πρὸς ἠῶ πλησίον Καστλῶνος.
boundary and of-it they-have-set toward east near Castlo
ἡ δὲ λοιπὴ Καίσαρός ἐστι· πέμπονται δ' ὑπ' αὐτοῦ
the but rest of-Caesar is are-sent and by him

δύο πρεσβευταί, στρατηγικός τε καὶ ὑπατικός, ὁ μὲν
two legates praetorian both and consular the indeed
στρατηγικὸς ἔχων σὺν αὑτῷ πρεσβευτήν, δικαιοδοτήσων
praetorian having with himself legate going-to-administer-justice
Λυσιτανοῖς τοῖς παρακειμένοις τῇ Βαιτικῇ καὶ διατείνουσι
to-Lusitanians those lying-beside — Baetica and extending
μέχρι τοῦ Δουρίου ποταμοῦ καὶ τῶν ἐκβολῶν αὐτοῦ· καλοῦσι
as-far-as the Durius river and the mouths its they-call
γὰρ οὕτω τὴν χώραν ταύτην ἰδίως ἐν τῷ παρόντι. ἐνταῦθα
for thus the country this specifically in the present there
δ' ἔστι καὶ ἡ Αὐγοῦστα Ἡμερίτα. ἡ λοιπὴ (αὕτη δ' ἐστὶν
and is also — Augusta Emerita the rest this and is
ἡ πλείστη τῆς Ἰβηρίας) ὑπὸ τῷ ὑπατικῷ ἡγεμόνι στρατιάν
the greatest-part — of-Iberia under the consular governor army
τε ἔχοντι ἀξιόλογον τριῶν που ταγμάτων καὶ πρεσβευτὰς
both having considerable of-three about legions and legates
τρεῖς, ὧν ὁ μὲν δύο ἔχων τάγματα παραφρουρεῖ
three of-whom the(-one) indeed two having legions guards
τὴν πέραν τοῦ Δουρίου πᾶσαν ἐπὶ τὰς ἄρκτους, ἣν
the beyond the Durius all toward the north which
οἱ μὲν πρότερον Λυσιτανοὺς ἔλεγον οἱ δὲ νῦν
the(-ones) indeed formerly Lusitanians called the(-others) but now
Καλλαϊκοὺς καλοῦσι· συνάπτει δὲ τούτοις τὰ προσάρκτια
Callaici call joins and these the northern
μέρη μετὰ τῶν Ἀστύρων καὶ τῶν Καντάβρων. ῥεῖ δὲ διὰ
parts with the Astures and the Cantabri flows and through
τῶν Ἀστύρων Μέλσος ποταμός, καὶ μικρὸν ἀπωτέρω πόλις
the Astures Melsus river and a-little farther-off city
Νοῖγα, καὶ πλησίον ἐκ τοῦ ὠκεανοῦ ἀνάχυσις ὁρίζουσα
Noega and near from the ocean estuary bounding
τοὺς Ἄστυρας ἀπὸ τῶν Καντάβρων· τὴν δ' ἑξῆς παρόρειον
the Astures from the Cantabri the and next mountain-side

μέχρι Πυρήνης ὁ δεύτερος τῶν πρεσβευτῶν μετὰ τοῦ
as-far-as Pyrene the second of-the legates with the
ἑτέρου τάγματος ἐπισκοπεῖ. ὁ δὲ τρίτος τὴν μεσόγαιαν,
other legion oversees the and third the interior
συνέχει δὲ τὰ τῶν ἤδη λεγομένων ὡς ἂν εἰρηνικῶν
holds-together and the-things of-the already called as — peaceable
καὶ εἰς τὸ ἥμερον καὶ τὸν Ἰταλικὸν τύπον μετακειμένων ἐν
and to the gentleness and the Italian type changed in
τῇ τηβεννικῇ ἐσθῆτι. οὗτοι δ᾽ εἰσὶν οἱ Κελτίβηρες καὶ οἱ
the toga-wearing dress these and are the Celtiberians and those
τοῦ Ἴβηρος πλησίον ἑκατέρωθεν οἰκοῦντες μέχρι τῶν πρὸς
the Iberus near on-each-side dwelling as-far-as the toward
θαλάττῃ μερῶν. αὐτὸς δὲ ὁ ἡγεμὼν διαχειμάζει μὲν ἐν
sea parts himself and the governor winters indeed in
τοῖς ἐπιθαλαττιαίοις μέρεσι καὶ μάλιστα τῇ Καρχηδόνι καὶ
the seaside parts and especially — in-Carthage and
τῇ Ταρράκωνι δικαιοδοτῶν, θέρους δὲ περίεισιν ἐφορῶν
— Tarraco administering-justice in-summer but he-goes-round inspecting
ἀεί τινα τῶν δεομένων ἐπανορθώσεως. εἰσὶ δὲ καὶ
always some of-the-things needing correction there-are and also
ἐπίτροποι τοῦ Καίσαρος, ἱππικοὶ ἄνδρες, οἱ διανέμοντες
procurators — of-Caesar equestrian men those distributing
τὰ χρήματα τοῖς στρατιώταις εἰς τὴν διοίκησιν τοῦ βίου.
the money to-the soldiers for the maintenance of-the life

Off the coast lie the Pityussae, with Ebusus, and the Gymnesiae, with Palma and Polentia, fertile and free of harmful beasts but once overrun by rabbits; their people are slingers, subdued by Metellus Balearicus. Gades lies beyond the Pillars: its citizens send the most and greatest merchant ships into both seas, and Balbus has built them a second city. Pherecydes seems to call it Erytheia, scene of Geryon's herds. The Gaditani tell how an oracle sent the Tyrians to found it at the third attempt. Some put the Pillars at the strait, the Iberians and Libyans in the Heracleium's bronze pillars; Strabo rejects those, whose inscription records expense, and takes the Pillars for boundary marks set at the farthest places reached.

1 τῶν δὲ προκειμένων νήσων τῆς Ἰβηρίας τὰς μὲν
of-the and lying-before islands — of-Iberia the indeed
Πιτυούσσας δύο καὶ τὰς Γυμνησίας δύο (καλοῦσι καὶ
Pityussae two and the Gymnesiae two they-call also
Βαλιαρίδας) προκεῖσθαι συμβαίνει τῆς μεταξὺ Ταρράκωνος
Baliarides to-lie-before it-happens the between Tarraco
καὶ Σούκρωνος παραλίας, ἐφ' ἧς ἵδρυται τὸ Σάγουντον·
and Sucro coast on which is-situated — Saguntum
εἰσὶ δὲ καὶ πελάγιαι, ∗∗∗ μᾶλλον αἱ Πιτυοῦσσαι καὶ πρὸς
are and also out-at-sea (lacuna) more the Pityussae and toward
ἑσπέραν κεκλιμέναι τῶν Γυμνησίων. καλεῖται δ' αὐτῶν
west inclined than-the Gymnesiae is-called and of-them
ἡ μὲν Ἔβουσος πόλιν ἔχουσα ὁμώνυμον· κύκλος δὲ
the(-one) indeed Ebusus city having of-the-same-name circuit and
τῆς νήσου τετρακόσιοι στάδιοι, παρώμαλος τὸ πλάτος καὶ
of-the island four-hundred stades nearly-equal the breadth and
τὸ μῆκος· ἡ δὲ Ὀφιοῦσσα ἔρημος καὶ πολὺ ἐλάττων ταύτης
the length — but Ophiussa desert and much smaller than-this
πλησίον κειμένη. τῶν δὲ Γυμνησίων ἡ μὲν μείζων ἔχει
near lying of-the and Gymnesiae the indeed greater has

δύο πόλεις, Πάλμαν καὶ Πολεντίαν, τὴν μὲν πρὸς ἕω
two cities Palma and Polentia the(-one) indeed toward east
κειμένην τὴν Πολεντίαν, τὴν δ' ἑτέραν πρὸς δύσιν. μῆκος
lying — Polentia the but other toward west length
δὲ τῆς νήσου μικρὸν ἀπολεῖπον τῶν ἑξακοσίων σταδίων,
and of-the island little falling-short of-the six-hundred stades
πλάτος δὲ διακοσίων· Ἀρτεμίδωρος δὲ διπλάσιον εἴρηκε καὶ
breadth and of-two-hundred Artemidorus but double has-said both
τὸ πλάτος καὶ τὸ μῆκος. ἡ δ' ἐλάττων ὡς ἑβδομήκοντα
the breadth and the length the but smaller about seventy
τῆς Πολεντίας διέχει σταδίους· κατὰ μέγεθος μὲν οὖν πολὺ
— from-Polentia is-distant stades in size indeed then much
τῆς μείζονος ἀπολείπεται, κατὰ δὲ τὴν ἀρετὴν οὐδὲν
from-the greater falls-short in but the excellence in-nothing
αὐτῆς χείρων ἐστίν· ἄμφω γὰρ εὐδαίμονες καὶ εὐλίμενοι,
than-it worse is both for fortunate and well-harbored
χοιραδώδεις δὲ κατὰ τὰ στόματα, ὥστε δεῖν προσοχῆς
full-of-reefs but at the mouths so-that it-is-needful of-attention
τοῖς εἰσπλέουσι. διὰ δὲ τὴν ἀρετὴν τῶν τόπων καὶ οἱ
for-those sailing-in because-of and the excellence of-the places also those
κατοικοῦντες εἰρηναῖοι, καθάπερ καὶ οἱ κατὰ τὴν Ἔβουσον.
inhabiting peaceable as also those about — Ebusus
κακούργων δέ τινων ὀλίγων κοινωνίας συστησαμένων πρὸς
evildoers but some few partnerships having-formed with
τοὺς ἐν τοῖς πελάγεσι λῃστάς, διεβλήθησαν ἅπαντες, καὶ
the in the seas pirates were-slandered all and
διέβη Μέτελλος ἐπ' αὐτοὺς ὁ Βαλιαρικὸς προσαγορευθείς,
crossed Metellus against them the Balearicus surnamed
ὅστις καὶ τὰς πόλεις ἔκτισε. διὰ δὲ τὴν αὐτὴν
who also the cities founded because-of and the same
ἀρετὴν ἐπιβουλευόμενοι, καίπερ εἰρηναῖοι ὄντες, ὅμως
excellence plotted-against although peaceable being nevertheless

σφενδονῆται ἄριστοι λέγονται· καὶ τοῦτ᾽ ἤσκησαν, ὥς φασι,
slingers best are-said and this they-practiced as they-say
διαφερόντως ἐξ ὅτου Φοίνικες κατέσχον τὰς νήσους. οὗτοι
especially from when Phoenicians occupied the islands these
δὲ καὶ ἐνδῦσαι λέγονται πρῶτοι τοὺς ἀνθρώπους χιτῶνας
and also to-have-clothed are-said first the men tunics
πλατυσήμους *** ἄζωστοι δ᾽ ἐπὶ τοὺς ἀγῶνας ἐξήεσαν,
broad-bordered (lacuna) ungirt and to the contests they-went-out
αἰγίδα περὶ τῇ χειρὶ ἔχοντες *** ἢ πεπυρακτωμένον
goatskin around the hand having (lacuna) or fire-hardened
ἀκόντιον, σπάνιον δὲ καὶ λελογχωμένον σιδήρῳ μικρῷ.
javelin rarely and also pointed with-iron small
σφενδόνας δὲ περὶ τῇ κεφαλῇ τρεῖς μελαγκρανίνας ἢ τριχίνας
slings and round the head three of-black-rush or of-hair
ἢ νευρίνας, τὴν μὲν μακρόκωλον πρὸς τὰς μακροβολίας,
or of-sinew the(-one) indeed long-armed for the long-shots
τὴν δὲ βραχύκωλον πρὸς τὰς ἐν βραχεῖ βολάς, τὴν
the(-other) but short-armed for the at short throws the
δὲ μέσην πρὸς τὰς μέσας. ἠσκοῦντο δ᾽ ἐκ παίδων
and middle for the middle they-were-trained and from childhood
οὕτως ταῖς σφενδόναις ὥστ᾽ οὐδ᾽ ἄλλως τοῖς παισὶν
so with-the slings that not-even otherwise to-the children
ἄρτον ἐδίδοσαν ἄνευ τοῦ τῇ σφενδόνῃ τυχεῖν. διόπερ ὁ
bread they-gave without the with-the sling to-hit wherefore —
Μέτελλος προσπλέων πρὸς τὰς νήσους δέρρεις ἔτεινεν ὑπὲρ
Metellus sailing-toward to the islands hides stretched over
τῶν καταστρωμάτων σκέπην πρὸς τὰς σφενδόνας. εἰσήγαγε
the decks protection against the slings he-brought-in
δὲ ἐποίκους τρισχιλίους τῶν ἐκ τῆς Ἰβηρίας Ῥωμαίων.
and colonists three-thousand of-the from — Iberia Romans

πρὸς δὲ τῇ εὐκαρπίᾳ τῆς γῆς καὶ τὸ μηδὲν τῶν σινομένων 2
besides and the fruitfulness of-the land also the nothing of-the harmful
θηρίων εὑρίσκεσθαι ῥᾳδίως ἐνταῦθα πρόσεστιν· οὐδὲ γὰρ
beasts to-be-found easily there is-added not-even for
τοὺς λαγιδεῖς ἐπιχωρίους εἶναί φασιν, ἀλλὰ κομισθέντων
the rabbits native to-be they-say but having-been-brought
ἐκ τῆς περαίας ὑπό τινος ἄρρενος καὶ θηλείας γενέσθαι
from the land-across by someone a-male and female to-have-arisen
τὴν ἐπιγονήν, ἣ τοσαύτη κατ' ἀρχὰς ὑπῆρχεν ὥστε καὶ
the offspring which so-great at first was that even
οἴκους ἀνατρέπειν ἐκ τῆς ὑπονομῆς καὶ δένδρα, καὶ ἐπὶ
houses to-overturn from the burrowing and trees and to
τοὺς Ῥωμαίους, ὥσπερ εἶπον, ἀναγκασθῆναι καταφυγεῖν
the Romans as I-said to-have-been-compelled to-take-refuge
τοὺς ἀνθρώπους. νῦν μέντοι τὸ εὐμεταχείριστον τῆς θήρας
the men now however the easy-to-manage of-the hunting
ἐπικρατεῖν οὐκ ἐᾷ τὴν βλάβην, ἀλλὰ λυσιτελῶς οἱ
to-prevail not allows the damage but profitably those
ἔχοντες καρποῦνται τὴν γῆν.
having reap the land
αὗται μὲν οὖν ἐντὸς στηλῶν τῶν Ἡρακλείων καλουμένων. 3
these indeed then inside the-Pillars the of-Heracles called
πρὸς αὐταῖς δὲ δύο νησίδια, ὧν θάτερον Ἥρας νῆσον
near them and two islets of-which the-one of-Hera island
ὀνομάζουσι· καὶ δή τινες καὶ ταύτας στήλας καλοῦσιν.
they-name and indeed some also these Pillars call
ἔξω δὲ στηλῶν τὰ Γάδειρα, περὶ ὧν τοσοῦτον μόνον
outside and the-Pillars — Gades about which so-much only
εἰρήκαμεν ὅτι τῆς Κάλπης διέχει περὶ ἑπτακοσίους
we-have-said that from-the Calpe it-is-distant about seven-hundred
καὶ πεντήκοντα σταδίους, τῆς δὲ ἐκβολῆς τοῦ Βαίτιδος
and fifty stades of-the and mouth of-the Baetis

πλησίον ἵδρυται· πλείους δ' εἰσὶ λόγοι περὶ αὐτῆς. οὗτοι
near is-situated more and are accounts about it these
γάρ εἰσιν οἱ ἄνδρες οἱ τὰ πλεῖστα καὶ μέγιστα ναυκλήρια
for are the men those the most and greatest merchant-ships
στέλλοντες εἴς τε τὴν καθ' ἡμᾶς θάλατταν καὶ τὴν
sending into both the by us sea and the
ἐκτός, οὔτε μεγάλην οἰκοῦντες νῆσον οὔτε τῆς περαίας
outer neither great inhabiting island nor of-the land-across
νεμόμενοι πολλὴν οὔτ' ἄλλων εὐποροῦντες νήσων, ἀλλὰ
inhabiting much nor in-other abounding islands but
πλέον οἰκοῦντες τὴν θάλατταν, ὀλίγοι δ' οἰκουροῦντες
more inhabiting the sea few but staying-at-home
ἢ ἐν Ῥώμῃ διατρίβοντες. ἐπεὶ πλήθει γε οὐδεμιᾶς ἂν
or in Rome spending-time since in-number indeed of-none —
ἀπολείπεσθαι δόξειε τῶν ἔξω Ῥώμης πόλεων· ἤκουσα
to-fall-short would-seem of-the outside Rome cities I-heard
γοῦν ἐν μιᾷ τῶν καθ' ἡμᾶς τιμήσεων πεντακοσίους
at-least in one of-the by us censuses five-hundred
ἄνδρας τιμηθέντας ἱππικοὺς Γαδιτανούς, ὅσους οὐδένας
men assessed equestrian Gaditani as-many-as none
οὐδὲ τῶν Ἰταλιωτῶν πλὴν τῶν Παταουίνων. τοσοῦτοι
not-even of-the Italiotes except the Patavini so-many
δ' ὄντες νῆσον ἔχουσιν οὐ πολὺ μείζονα τῶν ἑκατὸν
and being island they-have not much greater than-the hundred
σταδίων τὸ μῆκος, πλάτος δ' ἔσθ' ὅπου καὶ σταδιαῖον.
stades in-the length breadth and it-is where even of-one-stade
πόλιν δὲ κατ' ἀρχὰς μὲν ᾤκουν παντάπασι μικράν,
city and at first indeed they-inhabited altogether small
προσέκτισε δ' αὐτοῖς Βάλβος Γαδιτανὸς ὁ θριαμβεύσας
built-in-addition but for-them Balbus Gaditanian the(-one) having-triumphed
ἄλλην ἣν νέαν καλοῦσι, τὴν δ' ἐξ ἀμφοῖν Διδύμην,
other which New they-call the and from both Didyme

οὐ πλειόνων εἴκοσι σταδίων οὖσαν τὴν περίμετρον,
not more than-twenty stades being in-the circumference
οὐδὲ ταύτην στενοχωρουμένην· ὀλίγοι γὰρ οἰκουροῦσιν ἐν
nor this crowded few for stay-at-home in
αὐτῇ διὰ τὸ πάντας θαλαττεύειν τὸ πλέον, τοὺς
it because-of the all to-be-at-sea the most the(-others)
δὲ καὶ τὴν περαίαν οἰκεῖν, καὶ μάλιστα τὴν ἐπὶ τῆς
and also the land-across to-inhabit and especially the on the
προκειμένης νησῖδος διὰ τὴν εὐφυΐαν, ἣν ὥσπερ
lying-before islet because-of the natural-advantage which as
ἀντίπολιν πεποιήκασι τῇ Διδύμῃ χαίροντες τῷ τόπῳ.
rival-city they-have-made — to-Didyme delighting in-the place
ὀλίγοι δὲ κατὰ σύγκρισιν καὶ ταύτην οἰκοῦσι καὶ τὸ
few but by comparison also this inhabit and the
ἐπίνειον, ὃ κατεσκεύασεν αὐτοῖς Βάλβος ἐν τῇ περαίᾳ
port which built for-them Balbus in the land-across
τῆς ἠπείρου. κεῖται δ' ἐπὶ τῶν ἑσπερίων τῆς νήσου
of-the mainland lies and on the western of-the island
μερῶν ἡ πόλις, προσεχὲς δ' αὐτῇ τελευταῖόν ἐστι τὸ
parts the city adjacent and to-it last is the
Κρόνιον πρὸς τῇ νησῖδι· τὸ δ' Ἡράκλειον ἐπὶ θάτερα
Cronium near the islet the but Heracleium to the-other-side
τέτραπται τὰ πρὸς ἕω, καθ' ὃ δὴ μάλιστα τῇ ἠπείρῳ
is-turned the toward east at which indeed most to-the mainland
τυγχάνει συνάπτουσα ἡ νῆσος ὅσον σταδιαῖον πορθμὸν
happens joining the island as-much-as of-one-stade strait
ἀπολείπουσα. καὶ λέγουσι μὲν διέχειν τῆς πόλεως
leaving and they-say indeed to-be-distant from-the city
δώδεκα μίλια τὸ ἱερόν, ἴσον ποιοῦντες τὸν τῶν ἄθλων καὶ
twelve miles the temple equal making the of-the labors and
τὸν τῶν μιλίων ἀριθμόν· ἔστι δὲ μεῖζον καὶ σχεδόν τι
the of-the miles number is but greater and almost somewhat

τοσοῦτον ὅσον ἐστὶ τὸ τοῦ μήκους τῆς νήσου· μῆκος
so-much as-much-as is the of-the length of-the island length
δ' ἐστὶ τῆς νήσου τὸ ἀπὸ τῆς δύσεως ἐπὶ τὴν ἀνατολήν.
and is of-the island the from the west to the east
4 Ἐρύθειαν δὲ τὰ Γάδειρα ἔοικε λέγειν ὁ Φερεκύδης, ἐν
Erytheia and — Gades seems to-call — Pherecydes in
ᾗ τὰ περὶ τὸν Γηρυόνην μυθεύουσιν, ἄλλοι δὲ τὴν
which the-things about — Geryon they-tell-in-myth others but the
παραβεβλημένην ταύτῃ τῇ πόλει νῆσον πορθμῷ σταδιαίῳ
lying-beside this the city island by-strait of-one-stade
διειργομένην, τὸ εὔβοτον ὁρῶντες, ὅτι τῶν νεμομένων
separated the good-pasture seeing because of-the grazing
αὐτόθι προβάτων τὸ γάλα ὀρὸν οὐ ποιεῖ. τυροποιοῦσί τε
there sheep the milk whey not makes they-make-cheese both
πολλῷ ὕδατι μίξαντες διὰ τὴν πιότητα, ἐν πεντήκοντά
with-much water having-mixed because-of the fatness in fifty
τε ἡμέραις πνίγεται τὸ ζῷον, εἰ μή τις ἀποσχάζοι τι
and days is-choked the animal if not someone should-let some
τοῦ αἵματος. ξηρὰ δέ ἐστιν ἣν νέμονται βοτάνην, ἀλλὰ
of-the blood dry and is which they-graze grass but
πιαίνει σφόδρα· τεκμαίρονται δ' ἐκ τοῦ πεπλάσθαι
fattens very they-infer and from this to-have-been-fabricated
τὸν μῦθον τὸν περὶ τὰ βουκόλια τοῦ Γηρυόνου· ***
the myth the about the herds — of-Geryon (lacuna)
κοινῇ μέντοι συνῴκισται πᾶς ὁ αἰγιαλός.
in-common however has-been-settled all the shore
5 περὶ δὲ τῆς κτίσεως τῶν Γαδείρων τοιαῦτα λέγοντες
about and the founding — of-Gades such-things saying
μέμνηνται Γαδιτανοὶ χρησμοῦ τινος, ὃν γενέσθαι φασὶ
remember Gaditani oracle some which to-have-been they-say
Τυρίοις κελεύοντα ἐπὶ τὰς Ἡρακλέους στήλας ἀποικίαν
for-Tyrians bidding to the of-Heracles Pillars colony

πέμψαι· τοὺς δὲ πεμφθέντας κατασκοπῆς χάριν, ἐπειδὴ
to-send those and sent of-reconnaissance for-the-sake when
κατὰ τὸν πορθμὸν ἐγένοντο τὸν κατὰ τὴν Κάλπην,
at the strait they-were the at the Calpe
νομίσαντας τέρμονας εἶναι τῆς οἰκουμένης καὶ τῆς
having-thought limits to-be of-the inhabited-world and of-the
Ἡρακλέους στρατείας τὰ ἄκρα ποιοῦντα τὸν πορθμόν,
of-Heracles expedition the headlands making the strait
ταῦτα δ' αὐτὰ καὶ στήλας ὀνομάζειν τὸ λόγιον, κατασχεῖν
these and very also Pillars to-name the oracle to-have-put-in
εἴς τι χωρίον ἐντὸς τῶν στενῶν, ἐν ᾧ νῦν ἔστιν ἡ
at some place inside the narrows in which now is the
τῶν Ἐξιτανῶν πόλις· ἐνταῦθα δὲ θύσαντας μὴ γενομένων
of-the Exitani city there and having-sacrificed not having-been
καλῶν τῶν ἱερείων ἀνακάμψαι πάλιν. χρόνῳ δ' ὕστερον
favorable the victims to-have-turned-back again in-time and later
τοὺς πεμφθέντας προελθεῖν ἔξω τοῦ πορθμοῦ περὶ
those sent to-have-gone-on outside the strait about
χιλίους καὶ πεντακοσίους σταδίους εἰς νῆσον Ἡρακλέους
thousand and five-hundred stades to island of-Heracles
ἱερὰν κειμένην κατὰ πόλιν Ὀνόβαν τῆς Ἰβηρίας, καὶ
sacred lying at city Onoba — of-Iberia and
νομίσαντας ἐνταῦθα εἶναι τὰς στήλας θῦσαι τῷ θεῷ,
having-thought here to-be the Pillars to-have-sacrificed to-the god
μὴ γενομένων δὲ πάλιν καλῶν τῶν ἱερείων ἐπανελθεῖν
not having-been but again favorable the victims to-have-returned
οἴκαδε. τῷ δὲ τρίτῳ στόλῳ τοὺς ἀφικομένους Γάδειρα
home on-the but third expedition those having-arrived Gades
κτίσαι καὶ ἱδρύσασθαι τὸ ἱερὸν ἐπὶ τοῖς ἑῴοις τῆς
to-have-founded and to-have-set-up the temple on the eastern-parts of-the
νήσου, τὴν δὲ πόλιν ἐπὶ τοῖς ἑσπερίοις. διὰ δὲ τοῦτο
island the but city on the western because-of and this

τοὺς μὲν δοκεῖν τὰ ἄκρα τοῦ πορθμοῦ τὰς στήλας
the(-ones) indeed to-think the headlands of-the strait the Pillars
εἶναι, τοὺς δὲ τὰ Γάδειρα, τοὺς δ' ἔτι πορρώτερον
to-be the(-others) but — Gades the(-others) but still farther
τῶν Γαδείρων ἔξω προκεῖσθαι. ἔνιοι δὲ στήλας ὑπέλαβον
— than-Gades outside to-lie-before some and Pillars supposed
τὴν Κάλπην καὶ τὴν Ἀβίλυκα, τὸ ἀντικείμενον ὄρος ἐκ
the Calpe and the Abilyx the opposite mountain from
τῆς Λιβύης, ὅ φησιν Ἐρατοσθένης ἐν τῷ Μεταγωνίῳ
— Libya which says Eratosthenes in the Metagonium
νομαδικῷ ἔθνει ἱδρῦσθαι· οἱ δὲ τὰς πλησίον ἑκατέρου
nomadic nation to-be-situated the(-others) but the near each
νησῖδας, ὧν τὴν ἑτέραν Ἥρας νῆσον ὀνομάζουσιν.
islets of-which the one of-Hera island they-name
Ἀρτεμίδωρος δὲ τὴν μὲν τῆς Ἥρας νῆσον καὶ ἱερὸν
Artemidorus but the indeed — of-Hera island and temple
λέγει αὐτῆς, ἄλλην δέ φησιν εἶναί τινα, οὐδ' Ἀβίλυκα
mentions of-it other but he-says to-be some nor Abilyx
ὄρος οὐδὲ Μεταγώνιον ἔθνος. καὶ τὰς Πλαγκτὰς καὶ
mountain nor Metagonium nation and the Planctae and
τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι
the Symplegades hither transfer some these to-be
νομίζοντες στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας,
thinking Pillars which Pindar calls gates Gadeirid
εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα. καὶ
to these last to-have-come asserting — Heracles and
Δικαίαρχος δὲ καὶ Ἐρατοσθένης καὶ Πολύβιος καὶ οἱ
Dicaearchus and and Eratosthenes and Polybius and the
πλεῖστοι τῶν Ἑλλήνων περὶ τὸν πορθμὸν ἀποφαίνουσι
most of-the Greeks about the strait show
τὰς στήλας. οἱ δὲ Ἴβηρες καὶ Λίβυες ἐν Γαδείροις
the Pillars the but Iberians and Libyans in Gades

εἶναι φασίν· οὐδὲν γὰρ ἐοικέναι στήλαις τὰ περὶ τὸν
to-be say nothing for to-resemble pillars the-things about the
πορθμόν. οἱ δὲ τὰς ἐν τῷ Ἡρακλείῳ τῷ ἐν Γαδείροις
strait the(-others) but the in the Heracleium the in Gades
χαλκᾶς ὀκταπήχεις, ἐν αἷς ἀναγέγραπται τὸ ἀνάλωμα
bronze eight-cubit on which has-been-inscribed the expense
τῆς κατασκευῆς τοῦ ἱεροῦ, ταύτας λέγεσθαί φασιν· ἐφ'
of-the construction of-the temple these to-be-called say to
ἃς ἐρχόμενοι οἱ τελέσαντες τὸν πλοῦν καὶ θύοντες τῷ
which coming those having-completed the voyage and sacrificing —
Ἡρακλεῖ διαβοηθῆναι παρεσκεύασαν, ὡς τοῦτ' εἶναι καὶ
to-Heracles to-be-noised-abroad caused that this to-be both
γῆς καὶ θαλάττης τὸ πέρας. τοῦτον δ' εἶναι πιθανώτατον
of-land and of-sea the end this but to-be most-plausible
καὶ Ποσειδώνιος ἡγεῖται τὸν λόγον, τὸν δὲ χρησμὸν καὶ
also Posidonius thinks the account the and oracle and
τοὺς πολλοὺς ἀποστόλους ψεῦσμα Φοινικικόν. περὶ μὲν οὖν
the many expeditions falsehood Phoenician about indeed then
τῶν ἀποστόλων τί ἄν τις διισχυρίσαιτο πρὸς ἔλεγχον
the expeditions what — anyone could-affirm for refutation
ἢ πίστιν, οὐδετέρως παράλογον; τὸ δὲ τὰς νησῖδας ἢ τὰ
or belief in-neither-way unreasonable the but the islets or the
ὄρη μὴ φάσκειν ἐοικέναι στήλαις, ἀλλὰ ζητεῖν ἐπὶ
mountains not to-assert to-resemble pillars but to-seek in-the-case-of
τῶν κυρίως λεγομένων στηλῶν τοὺς τῆς οἰκουμένης
the properly called pillars the of-the inhabited-world
ὅρους ἢ τῆς στρατείας τῆς Ἡρακλέους ἔχει μέν τινα
boundaries or of-the expedition the of-Heracles has indeed some
νοῦν· ἔθος γὰρ παλαιὸν ὑπῆρχε τὸ τίθεσθαι τοιούτους
sense custom for ancient was the to-set such
ὅρους, καθάπερ οἱ Ῥηγῖνοι τὴν στυλίδα ἔθεσαν τὴν ἐπὶ
boundaries as the Rhegini the column set the on

τῷ πορθμῷ κειμένην, πυργίον τι, καὶ ὁ τοῦ Πελώρου
the strait lying little-tower some and the of-the Pelorus
λεγόμενος πύργος ἀντίκειται ταύτῃ τῇ στυλίδι· καὶ οἱ
called tower lies-opposite to-this the column and the
Φιλαίνων λεγόμενοι βωμοὶ κατὰ μέσην που τὴν μεταξὺ
of-Philaeni called altars in middle somewhere the between
τῶν σύρτεων γῆν· καὶ ἐπὶ τῷ ἰσθμῷ τῷ Κορινθιακῷ
the Syrtes land and on the isthmus the Corinthian
μνημονεύεται στήλη τις ἱδρυμένη πρότερον, ἣν ἔστησαν
is-mentioned pillar some set-up formerly which set-up
κοινῇ οἱ τὴν Ἀττικὴν σὺν τῇ Μεγαρίδι κατασχόντες
in-common those — Attica with — Megaris having-occupied
Ἴωνες ἐξελαθέντες ἐκ τῆς Πελοποννήσου καὶ οἱ
Ionians having-been-driven-out from the Peloponnesus and those
κατασχόντες τὴν Πελοπόννησον, ἐπιγράψαντες ἐπὶ μὲν
having-occupied the Peloponnesus having-inscribed on indeed
τοῦ πρὸς τῇ Μεγαρίδι μέρους "τάδ' οὐχὶ Πελοπόννησος
the toward — Megaris side here not Peloponnesus
ἀλλ' Ἰωνία," ἐκ δὲ θατέρου "τάδ' ἐστὶ Πελοπόννησος
but Ionia from but the-other here is Peloponnesus
οὐκ Ἰωνία." Ἀλέξανδρος δὲ τῆς Ἰνδικῆς στρατείας ὅρια
not Ionia Alexander and of-the Indian expedition boundaries
βωμοὺς ἔθετο ἐν τοῖς τόποις εἰς οὓς ὑστάτους ἀφίκετο
altars set in the places to which last he-came
τῶν πρὸς ταῖς ἀνατολαῖς Ἰνδῶν, μιμούμενος τὸν Ἡρακλέα
of-the toward the risings Indians imitating — Heracles
καὶ τὸν Διόνυσον. ἦν μὲν δὴ τὸ ἔθος τοῦτο.
and — Dionysus was indeed indeed the custom this
6 Ἀλλὰ καὶ τοὺς τόπους εἰκός ἐστι μεταλαμβάνειν τὴν αὐτὴν
but also the places likely it-is to-take-over the same
προσηγορίαν, καὶ μάλιστα ἐπειδὰν ὁ χρόνος διαφθείρῃ τοὺς
name and especially when the time destroys the

τεθέντας ὅρους. οὐ γὰρ νῦν οἱ Φιλαίνων βωμοὶ μένουσιν,
set boundaries not for now the of-Philaeni altars remain
ἀλλ' ὁ τόπος μετείληφε τὴν προσηγορίαν. οὐδὲ ἐν τῇ
but the place has-taken-over the name nor in —
Ἰνδικῇ στήλας φασὶν ὁραθῆναι κειμένας οὔθ' Ἡρακλέους
India pillars they-say to-have-been-seen lying neither of-Heracles
οὔτε Διονύσου· καὶ λεγομένων μέντοι καὶ δεικνυμένων
nor of-Dionysus and being-spoken-of however and shown
τόπων τινῶν οἱ Μακεδόνες ἐπίστευον τούτους εἶναι στήλας,
places some the Macedonians believed these to-be pillars
ἐν οἷς τι σημεῖον εὕρισκον ἢ τῶν περὶ τὸν Διόνυσον
in which some sign they-found either of-the-things about — Dionysus
ἱστορουμένων ἢ τῶν περὶ τὸν Ἡρακλέα. κἀνταῦθα δὴ
recorded or of-the-things about — Heracles and-here indeed
τοὺς μὲν πρώτους οὐκ ἂν ἀπιστήσαι τις ὅροις χρήσασθαι
the indeed first not — would-disbelieve anyone boundaries to-have-used
χειροκμήτοις τισὶ βωμοῖς ἢ πύργοις ἢ στυλίσιν ἐπὶ τῶν
handmade some altars or towers or columns at the
τόπων, εἰς οὓς ὑστάτους ἦκον τοὺς ἐπιφανεστάτους
places to which last they-came the most-conspicuous
(ἐπιφανέστατοι δὲ οἱ πορθμοὶ καὶ τὰ ἐπικείμενα ὄρη
most-conspicuous and the straits and the overlying mountains
καὶ αἱ νησῖδες πρὸς τὸ ἀποδηλοῦν ἐσχατιάς τε καὶ ἀρχὰς
and the islets for the to-indicate extremities both and beginnings
τόπων), ἐκλιπόντων δὲ τῶν χειροκμήτων ὑπομνημάτων
of-places having-failed but the handmade memorials
μετενεχθῆναι τοὔνομα εἰς τοὺς τόπους, εἴτε τὰς νησῖδας
to-have-been-transferred the-name to the places whether the islets
τις βούλεται λέγειν εἴτε τὰς ἄκρας τὰς ποιούσας τὸν
one wishes to-call or the headlands those making the
πορθμόν. τοῦτο γὰρ ἤδη διορίσασθαι χαλεπὸν ποτέροις
strait this for now to-determine hard to-which-of-the-two

χρὴ προσάψαι τὴν ἐπίκλησιν, διὰ τὸ ἀμφοτέροις
it-is-needful to-attach the appellation because-of the to-both
ἐοικέναι τὰς στήλας. λέγω δὲ ἐοικέναι, διότι ἐν τοῖς
to-resemble the Pillars I-say and to-resemble because in the
τοιούτοις ἵδρυνται τόποις, οἳ σαφῶς τὰς ἐσχατιὰς
such are-situated places which clearly the extremities
ὑπαγορεύουσι, καθ' ὃ καὶ στόμα εἴρηται ὁ πορθμὸς
suggest according-to which also mouth is-called the strait
καὶ οὗτος καὶ ἄλλοι πλείους· τὸ δὲ στόμα πρὸς μὲν
both this and others more the and mouth for indeed
εἴσπλουν ἀρχή ἐστι, πρὸς δὲ ἔκπλουν ἔσχατον. τὰ οὖν
sailing-in beginning is for and sailing-out end the-things then
ἐπὶ τῷ στόματι νησίδια ἔχοντα τὸ εὐπερίγραφόν τε καὶ
at the mouth islets having the easily-circumscribed both and
σημειῶδες οὐ φαύλως στήλαις ἀπεικάζοι τις ἄν· ὡς δ'
marked not badly to-pillars would-liken anyone — as and
αὕτως καὶ τὰ ὄρη τὰ ἐπικείμενα τῷ πορθμῷ καὶ ἐξοχήν
likewise also the mountains those overlying the strait and prominence
τινα τοιαύτην ἐμφαίνοντα οἵαν αἱ στυλίδες ἢ αἱ στῆλαι.
some such showing such-as the columns or the pillars
καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας,
and — Pindar so — rightly would-speak gates Gadeirid
εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις
if at the mouth should-be-conceived the Pillars to-gates
γὰρ ἔοικε τὰ στόματα. τὰ δὲ Γάδειρα οὐκ ἐν τοιούτοις
for resemble the mouths — but Gades not in such
ἵδρυται τόποις ὥστε ἀποδηλοῦν ἐσχατιάν, ἀλλ' ἐν μέσῃ
is-situated places so-as to-indicate extremity but in middle
πως κεῖται μεγάλῃ παραλίᾳ κολπώδει. τὸ δὲ ἐπ' αὐτὰς
somehow lies great coast curving the but to them
ἀναφέρειν τὰς ἐν τῷ Ἡρακλείῳ στήλας τῷ ἐνθάδε ἧττον
to-refer the in the Heracleium pillars the here less

εὔλογον, ὡς ἐμοὶ φαίνεται· οὐ γὰρ ἐμπόρων ἀλλ' ἡγεμόνων
reasonable as to-me appears not for of-merchants but of-leaders
μᾶλλον ἀρξάντων τοῦ ὀνόματος τούτου, κρατῆσαι πιθανὸν
rather having-begun of-the name this to-have-prevailed plausible
τὴν δόξαν, καθάπερ καὶ ἐπὶ τῶν Ἰνδικῶν στηλῶν.
the opinion as also in-the-case-of the Indian pillars
ἄλλως τε καὶ ἡ ἐπιγραφὴ ἥν φασιν, οὐκ ἀφίδρυμα ἱερὸν
especially — and the inscription which they-say not dedication sacred
δηλοῦσα ἀλλὰ ἀναλώματος κεφάλαιον, ἀντιμαρτυρεῖ τῷ
showing but of-expense summary testifies-against the
λόγῳ· τὰς γὰρ Ἡρακλείους στήλας μνημεῖα εἶναι δεῖ
argument the for Heraclean pillars memorials to-be it-is-needful
τῆς ἐκείνου μεγαλουργίας, οὐ τῆς Φοινίκων δαπάνης.
of-the his great-deeds not of-the of-Phoenicians expense

X · GADES' SPRING, THE TIDES, AND THE CASSITERIDES

Polybius says a spring in the Heracleium at Gades fills at ebb tide and fails at flood; Posidonius denies it, describing two wells there, and Strabo weighs the explanations of Polybius and Athenodorus. Posidonius' account of the ocean's daily, monthly, and yearly tides, governed by the moon, is set out and criticized, with Seleucus' observations. A tree at Gades with sword-shaped leaves, and one near New Carthage whose bark is woven, are recorded. Last, the Cassiterides: ten islands north of the Artabri, whose black-cloaked people trade tin and lead; the Phoenicians hid the route until the Romans learned it and Publius Crassus crossed to them.

φησὶ δὲ ὁ Πολύβιος κρήνην ἐν τῷ Ἡρακλείῳ τῷ ἐν 7
says and — Polybius spring in the Heracleium the in
Γαδείροις εἶναι πότιμον, βαθμῶν ὀλίγων κατάβασιν ἔχουσαν
Gades to-be drinkable of-steps few descent having
εἰς τὸ ὕδωρ, ἣν ταῖς παλιρροίαις τῆς θαλάττης ἀντιπαθεῖν,
to the water which to-the refluxes of-the sea to-behave-contrarily

κατὰ μὲν τὰς πλήμας ἐκλείπουσαν κατὰ δὲ τὰς ἀμπώτεις
at indeed the floods failing at but the ebb-tides
πληρουμένην. αἰτιᾶται δ' ὅτι τὸ πνεῦμα τὸ ἐκ τοῦ βάθους
filling-up he-gives-as-cause and that the air the from the depth
εἰς τὴν ἐπιφάνειαν τῆς γῆς ἐκπῖπτον, καλυφθείσης μὲν
to the surface of-the earth escaping covered indeed
αὐτῆς ὑπὸ τοῦ κύματος κατὰ τὰς ἐπιβάσεις τῆς θαλάττης,
it by the wave at the advances of-the sea
εἴργεται τῶν οἰκείων τοιούτων ἐξόδων· ἀναστρέψαν
is-shut-out-from the proper such outlets having-turned-back
δὲ εἰς τὸ ἐντὸς ἐμφράττει τοὺς τῆς πηγῆς πόρους καὶ
and into the inside blocks the of-the spring channels and
ποιεῖ λειψυδρίαν· γυμνωθείσης δὲ πάλιν, εὐθυπορῆσαν
makes want-of-water laid-bare and again having-gone-straight
ἐλευθεροῖ τὰς φλέβας τῆς πηγῆς ὥστ' ἀναβλύειν εὐπόρως.
frees the veins of-the spring so-that to-gush-up abundantly
Ἀρτεμίδωρος δὲ ἀντειπὼν τούτῳ καὶ ἅμα παρ'
Artemidorus but having-spoken-against him and at-the-same-time from
αὐτοῦ τινα θεὶς αἰτίαν, μνησθεὶς δὲ καὶ τῆς Σιλανοῦ
himself some having-put cause having-mentioned and also the of-Silanus
δόξης τοῦ συγγραφέως, οὔ μοι δοκεῖ μνήμης ἄξια
opinion the historian not to-me seems of-mention worthy-things
εἰπεῖν, ὡς ἂν ἰδιώτης περὶ ταῦτα καὶ αὐτὸς καὶ Σιλανός.
to-say as — layman about these-things both he and Silanus
Ποσειδώνιος δὲ ψευδῆ λέγων τὴν ἱστορίαν εἶναι ταύτην δύο
Posidonius but false saying the story to-be this two
φησὶν εἶναι φρέατα ἐν τῷ Ἡρακλείῳ καὶ τρίτον ἐν τῇ πόλει·
says to-be wells in the Heracleium and third in the city
τῶν δ' ἐν τῷ Ἡρακλείῳ τὸ μὲν μικρότερον ὑδρευομένων
of-the and in the Heracleium the indeed smaller drawing-water
συνεχῶς αὐθωρὸν καὶ ἐκλείπειν καὶ διαλειπόντων τῆς
continuously on-the-spot both to-fail and ceasing from-the

ὑδρείας πληροῦσθαι πάλιν, τὸ δὲ μεῖζον δι' ὅλης
water-drawing to-be-filled again the but greater through whole
τῆς ἡμέρας τὴν ὑδρείαν ἔχον, μειούμενον μέντοι,
the day the water-drawing having diminishing however
καθάπερ καὶ τἆλλα φρέατα πάντα, νύκτωρ πληροῦσθαι
as also the-other wells all by-night to-be-filled
μηκέτι ὑδρευομένων· ἐπειδὴ δὲ συμπίπτει κατὰ τὸν τῆς
no-longer drawing-water since and coincides at the of-the
συμπληρώσεως καιρὸν ἡ ἄμπωτις πολλάκις, πεπιστεῦσθαι
filling time the ebb-tide often to-have-been-believed
κενῶς ὑπὸ τῶν ἐγχωρίων τὴν ἀντιπάθειαν. ὅτι μὲν οὖν ἡ
emptily by the natives the contrary-behavior that indeed then the
ἱστορία πεπίστευται, καὶ οὗτος εἴρηκε καὶ ἡμεῖς ἐν τοῖς
story is-believed also this-one has-said and we among the
παραδόξοις θρυλουμένην παρειλήφαμεν. ἠκούομεν δὲ καὶ
paradoxes prated we-have-received we-heard and also
φρέατα εἶναι, τὰ μὲν πρὸ τῆς πόλεως ἐν τοῖς κήποις
wells to-be the(-ones) indeed before the city in the gardens
τὰ δὲ ἐντός, διὰ δὲ τὴν μοχθηρίαν τοῦ ὕδατος κατὰ
the(-others) but inside because-of and the badness of-the water in
τὴν πόλιν δεξαμενὰς ἐπιπολάζειν τοῦ λακκαίου ὕδατος·
the city cisterns to-be-common of-the cistern water
εἰ μέντοι καὶ τούτων τι τῶν φρεάτων ἐπιδείκνυται τὴν
whether however also of-these any of-the wells displays the
τῆς ἀντιπαθείας ὑπόνοιαν, οὐκ ἴσμεν. τὰς δ' αἰτίας, εἴπερ
of-the contrary-behavior suspicion not we-know the but causes if-indeed
συμβαίνει ταῦτα οὕτως, ὡς ἐν χαλεποῖς ἀποδέχεσθαι
happen these-things thus as in difficult-things to-accept
δεῖ. εἰκὸς μὲν γὰρ οὕτως ἔχειν ὡς ὁ Πολύβιός φησιν,
it-is-needful likely indeed for so to-be as — Polybius says
εἰκὸς δὲ καὶ τῶν φλεβῶν τινας τῶν πηγαίων νοτισθείσας
likely and also of-the veins some of-the spring moistened

ἔξωθεν χαυνοῦσθαι καὶ παρέκχυσιν εἰς τὰ πλάγια μᾶλλον
from-outside to-be-loosened and outflow to the sides rather
διδόναι τοῖς ὕδασιν ἢ ἀναθλίβειν κατὰ τὸ ἀρχαῖον ῥεῖθρον
to-give to-the waters than to-press-up along the original channel
εἰς τὴν κρήνην· νοτίζεσθαι δ' ἀναγκαῖον ἐπικλύσαντος τοῦ
into the spring to-be-moistened and necessary having-flooded the
κύματος. εἰ δ', ὥσπερ Ἀθηνόδωρός φησιν, εἰσπνοῇ τε καὶ
wave if but as Athenodorus says to-inhalation both and
ἐκπνοῇ τὸ συμβαῖνον περὶ τὰς πλημμυρίδας καὶ περὶ τὰς
exhalation the happening about the high-tides and about the
ἀμπώτεις ἔοικεν, εἶναι ἄν τινα τῶν ῥεόντων ὑδάτων,
ebb-tides resembles there-would-be — some of-the flowing waters
ἃ κατ' ἄλλους μὲν πόρους ἔχει τὴν ἔκρυσιν κατὰ
which by other indeed channels have the outflow according-to
φύσιν εἰς τὴν ἐπιφάνειαν, ὧν δὴ τὰ στόματα πηγὰς
nature to the surface of-which indeed the mouths springs
καὶ κρήνας καλοῦμεν, κατ' ἄλλους δὲ πόρους συνέλκεται
and fountains we-call by other but channels are-drawn-together
πρὸς τὸ τῆς θαλάττης βάθος· καὶ συνεξαίροντα μὲν
to the of-the sea depth and helping-to-raise indeed
ἐκείνην ὥστε πλημμυρεῖν, ὅταν οἷον ἡ ἐκπνοὴ γίνηται,
that so-as to-flood when as-it-were the exhalation occurs
τὸ οἰκεῖον ἀπολείπει ῥεῖθρον, πάλιν δ' ἀναχωρεῖ πρὸς
the proper leave channel again but withdraw to
τὸ οἰκεῖον ῥεῖθρον, ὅταν κἀκείνη λάβῃ τὴν ἀναχώρησιν.
the proper channel when also-that takes the withdrawal
8 οὐκ οἶδα δὲ πῶς κατ' ἄλλα δεινοὺς ἀποφαίνων ὁ
not I-know and how in other-things clever showing —
Ποσειδώνιος τοὺς Φοίνικας ἐνταῦθα μωρίαν μᾶλλον ἢ
Posidonius the Phoenicians here folly rather than
δριμύτητα αὐτῶν κατέγνωκεν. ἡμέρα μὲν γὰρ καὶ νὺξ τῇ
shrewdness their he-has-condemned day indeed for and night by-the

τοῦ ἡλίου περιφορᾷ μετρεῖται τοτὲ μὲν ὑπὸ γῆς ὄντος
of-the sun revolution is-measured at-one-time indeed under earth being
τοτὲ δὲ ὑπὲρ γῆς φαινομένου· φησὶ δὲ τὴν τοῦ ὠκεανοῦ
at-another but above earth appearing he-says and the of-the ocean
κίνησιν ὑπέχειν ἀστροειδῆ περίοδον, τὴν μὲν ἡμερήσιον
motion to-undergo star-like period the(-one) indeed daily
ἀποδιδοῦσαν, τὴν δὲ μηνιαίαν, τὴν δ' ἐνιαυσιαίαν
rendering the(-other) but monthly the(-other) but yearly
συμπαθῶς τῇ σελήνῃ· ὅταν γὰρ αὕτη ζῳδίου μέγεθος
in-sympathy with-the moon when for she of-sign size
ὑπερέχῃ τοῦ ὁρίζοντος, ἄρχεσθαι διοιδεῖν τὴν θάλατταν
rises-above the horizon to-begin to-swell the sea
καὶ ἐπιβαίνειν τῆς γῆς αἰσθητῶς μέχρι μεσουρανήσεως·
and to-advance-on the land perceptibly as-far-as mid-heaven
ἐκκλίναντος δὲ τοῦ ἄστρου, πάλιν ἀναχωρεῖν τὸ πέλαγος
having-declined but the star again to-withdraw the sea
κατ' ὀλίγον ἕως ἂν ζῴδιον ὑπερέχῃ τῆς δύσεως ἡ σελήνη,
little-by little until — sign rises-above the setting the moon
εἶτα μένειν τοσοῦτον ἐν τῇ αὐτῇ καταστάσει χρόνον ὅσον
then to-remain so-much in the same state time as-much-as
ἡ σελήνη συνάπτει πρὸς αὐτὴν τὴν δύσιν, καὶ ἔτι μᾶλλον
the moon approaches to itself the setting and still more
τοσοῦτον ὅσον κινηθεῖσα ὑπὸ γῆς ζῴδιον ἀπόσχοι ἂν
so-much as-much-as having-moved under earth sign would-be-distant —
τοῦ ὁρίζοντος· εἶτ' ἐπιβαίνειν πάλιν ἕως τοῦ ὑπὸ γῆν
from-the horizon then to-advance again until the under earth
μεσουρανήματος· εἶτ' ἀναχωρεῖν ἕως ἂν πρὸς τὰς ἀνατολὰς
meridian then to-withdraw until — toward the risings
περιχωρήσασα ἡ σελήνη ζῴδιον τοῦ ὁρίζοντος ἀπόσχῃ,
having-gone-round the moon sign from-the horizon be-distant
μένειν δὲ μέχρι ἂν ζῴδιον ὑπὲρ γῆς μετεωρισθῇ, καὶ πάλιν
to-remain and until — sign above earth be-raised and again

ἐπιβαίνειν· ταύτην μὲν εἶναι λέγει τὴν ἡμερήσιον περίοδον.
to-advance this indeed to-be he-says the daily period
τὴν δὲ μηνιαίαν, ὅτι μέγισται μὲν αἱ παλίρροιαι γίνονται
the but monthly that greatest indeed the refluxes occur
περὶ τὰς συνόδους, εἶτα μειοῦνται μέχρι διχοτόμου· πάλιν
about the conjunctions then diminish as-far-as half-moon again
δ' αὔξονται μέχρι πανσελήνου, καὶ μειοῦνται πάλιν ἕως
and increase as-far-as full-moon and diminish again until
διχοτόμου φθινάδος· εἶθ' ἕως τῶν συνόδων αἱ αὐξήσεις·
half-moon waning then until the conjunctions the increases
πλεονάζειν δὲ καὶ χρόνῳ καὶ τάχει τὰς αὐξήσεις. τὰς
to-abound and both in-time and in-speed the increases the
δ' ἐνιαυσιαίας παρὰ τῶν ἐν Γαδείροις πυθέσθαι φησί,
but yearly from those in Gades to-have-learned he-says
λεγόντων ὡς κατὰ θερινὰς τροπὰς μάλιστα αὔξοιντο καὶ
saying that at summer solstices most increase both
αἱ ἀναχωρήσεις καὶ αἱ ἐπιβάσεις. εἰκάζει δ' αὐτὸς ἀπὸ
the withdrawals and the advances conjectures but himself from
τῶν τροπῶν μειοῦσθαι μὲν ἕως ἰσημερίας, αὔξεσθαι δὲ
the solstices to-diminish indeed until equinox to-increase but
ἕως χειμερινῶν τροπῶν· εἶτα μειοῦσθαι μέχρι ἐαρινῆς
until winter solstices then to-diminish as-far-as vernal
ἰσημερίας· εἶτ' αὔξεσθαι μέχρι θερινῶν τροπῶν. τῶν δὲ
equinox then to-increase as-far-as summer solstices of-the and
περιόδων τούτων οὐσῶν καθ' ἑκάστην ἡμέραν καὶ νύκτα,
periods these being on each day and night
τὸν συνάμφω χρόνον δὶς μὲν ἐπιβαινούσης τῆς θαλάττης
the both-together time twice indeed advancing the sea
δὶς δὲ ἀναχωρούσης, τεταγμένως δὲ καὶ τῶν ἡμερησίων
twice and withdrawing in-orderly-fashion and also of-the daytime
χρόνων καὶ τῶν νυκτερινῶν, πῶς οἷόν τε πολλάκις
times and the nighttime how possible — often

μὲν συμβαίνειν κατὰ τὰς ἀμπώτεις τὴν πλήρωσιν τοῦ
indeed to-happen at the ebb-tides the filling of-the
φρέατος, μὴ πολλάκις δὲ τὴν λειψυδρίαν; ἢ πολλάκις μέν,
well not often but the want-of-water or often indeed
μὴ ἰσάκις δέ; ἢ καὶ ἰσάκις μέν, τοὺς δὲ Γαδειρίτας
not equally-often but or even equally-often indeed the and Gaditani
ταῦτα μὲν μὴ ἱκανοὺς γενέσθαι τηρῆσαι τὰ καθ'
these-things indeed not capable to-have-been to-observe the-things by
ἡμέραν γινόμενα, τὰς δ' ἐνιαυσίους περιόδους ἐκ τῶν
day happening the but yearly periods from the-things
ἅπαξ συμβαινόντων κατ' ἔτος τηρῆσαι; ἀλλὰ μὴν ὅτι γε
once happening by year to-observe but indeed that indeed
πιστεύει αὐτοῖς, δῆλον ἐξ ὧν καὶ προσεικάζει γίνεσθαι
he-believes them plain from what-things also he-conjectures to-happen
τὰς μειώσεις καὶ πάλιν αὐξήσεις ἀπὸ τροπῶν ἐπὶ τροπάς
the diminutions and again increases from solstices to solstices
τε ἑτέρας κἀκεῖθεν πάλιν ἐπανόδους. καὶ μὴν οὐδὲ
both other and-from-there again returns and indeed not-even
ἐκεῖνο εἰκός, ὅτι τηρητικοὶ ὄντες τὰ μὲν συμβαίνοντα
that likely that observant being the-things indeed happening
οὐκ εἶδον, τοῖς δὲ μὴ συμβαίνουσιν ἐπίστευσαν.
not they-saw the-things but not happening believed
φησὶ δ' οὖν Σέλευκον τὸν ἀπὸ τῆς Ἐρυθρᾶς θαλάττης 9
says and then Seleucus the(-one) from the Red Sea
καὶ ἀνωμαλίαν τινὰ ἐν τούτοις καὶ ὁμαλότητα λέγειν
both irregularity some in these and regularity to-speak-of
κατὰ τὰς τῶν ζῳδίων διαφοράς· ἐν μὲν γὰρ τοῖς
according-to the of-the signs differences in indeed for the
ἰσημερινοῖς ζῳδίοις τῆς σελήνης οὔσης ὁμαλίζειν τὰ πάθη,
equinoctial signs the moon being to-be-regular the phenomena
ἐν δὲ τοῖς τροπικοῖς ἀνωμαλίαν εἶναι καὶ πλήθει καὶ
in but the tropical irregularity to-be both in-amount and

τάχει, τῶν δ' ἄλλων ἑκάστου κατὰ τοὺς συνεγγισμοὺς
in-speed of-the and others each according-to the approaches
εἶναι τὴν ἀναλογίαν. αὐτὸς δὲ κατὰ τὰς θερινὰς τροπὰς
to-be the proportion he but at the summer solstices
περὶ τὴν πανσέληνόν φησιν ἐν τῷ Ἡρακλείῳ γενόμενος
about the full-moon he-says in the Heracleium having-been
τῷ ἐν Γαδείροις πλείους ἡμέρας μὴ δύνασθαι συνεῖναι τὰς
the in Gades several days not to-be-able to-understand the
ἐνιαυσίους διαφοράς. περὶ μέντοι τὴν σύνοδον ἐκείνου τοῦ
yearly differences about however the conjunction of-that the
μηνὸς τηρῆσαι μεγάλην παραλλαγὴν ἐν Ἰλίπᾳ τῆς τοῦ
month to-observe great variation at Ilipa of-the of-the
Βαίτιος ἀνακοπῆς παρὰ τὰς ἔμπροσθεν, ἐν αἷς οὐδὲ
Baetis back-flow compared-with the former in which not-even
ἕως ἡμίσους τὰς ὄχθας ἔβρεχε· τότε δ' ὑπερχεῖσθαι
as-far-as half the banks it-wetted then but to-overflow
τὸ ὕδωρ ὥσθ' ὑδρεύεσθαι τοὺς στρατιώτας αὐτόθι (διέχει
the water so-that to-draw-water the soldiers there is-distant
δ' Ἰλίπα τῆς θαλάττης περὶ ἑπτακοσίους σταδίους)·
and Ilipa from-the sea about seven-hundred stades
τῶν δ' ἐπὶ θαλάττῃ πεδίων καὶ ἐπὶ τριάκοντα σταδίους
of-the and at sea plains even for thirty stades
εἰς βάθος καλυπτομένων ὑπὸ τῆς πλημμυρίδος, ὥστε καὶ
into depth being-covered by the high-tide so-that also
νήσους ἀπολαμβάνεσθαι, τὸ τῆς κρηπῖδος ὕψος τῆς τε
islands to-be-cut-off the of-the foundation height of-the both
τοῦ νεὼ τοῦ ἐν τῷ Ἡρακλείῳ καὶ τῆς τοῦ χώματος,
of-the temple the in the Heracleium and of-the of-the mole
ὃ τοῦ λιμένος πρόκειται τοῦ ἐν Γαδείροις, οὐδ' ἐπὶ
which the harbor lies-before the in Gades not-even for
δέκα πήχεις καλυπτόμενον ἀναμετρῆσαί φησι· κἂν προσθῇ
ten cubits covered to-have-measured he-says even-if add

δέ τις τὸ διπλάσιον τούτου κατὰ τὰς γενομένας ποτὲ
but anyone the double of-this at the having-occurred sometimes
παραυξήσεις, οὕτω παρασχεῖν ἂν τὴν ἔμφασιν, ἣν ἐν
increases so would-produce — the appearance which in
τοῖς πεδίοις παρέχεται τὸ μέγεθος τῆς πλημμυρίδος. τοῦτο
the plains produces the size of-the high-tide this
μὲν δὴ τὸ πάθος κοινὸν ἱστορεῖται κατὰ πᾶσαν τὴν
indeed indeed the phenomenon common is-recorded along all the
κύκλῳ παρωκεανῖτιν, τὸ δὲ τοῦ Ἴβηρος ποταμοῦ καινὸν
in-a-circle coast-of-the-ocean the but of-the Iberus river new
καὶ ἴδιόν φησιν οὗτος· πλημμυρεῖν γὰρ ἔσθ' ὅπου καὶ
and peculiar says this-one to-flood for it-is when even
χωρὶς ὄμβρων καὶ χιόνων, ἐπειδὰν τὰ βόρεια πνεύματα
without rains and snows when the northern winds
πλεονάσῃ, αἰτίαν δ' εἶναι τὴν λίμνην δι' ἧς ῥεῖ·
abound cause and to-be the lake through which it-flows
συνεκβάλλεσθαι γὰρ τὸ λιμναῖον ὑπὸ τῶν ἀνέμων.
to-be-cast-out-with for the lake-water by the winds
ἱστορεῖ δὲ καὶ δένδρον ἐν Γαδείροις ὄζους ἔχον 10
records and also tree in Gades branches having
καμπτομένους εἰς ἔδαφος, πολλάκις δὲ φύλλα ξιφοειδῆ
bending to ground often and leaves sword-shaped
πηχυαῖα τὸ μῆκος, πλάτος δὲ τετραδάκτυλα. περὶ δὲ
cubit-long in-the length in-breadth but four-fingers about and
νέαν Καρχηδόνα δένδρον ἐξ ἀκάνθης φλοιὸν ἀφιέναι ἐξ
New Carthage tree from thorn bark to-give-off from
οὗ ὑφάσματα γίνεται κάλλιστα. τῷ μὲν οὖν ἐν Γαδείροις
which fabrics are-made finest to-the indeed then in Gades
καὶ ἡμεῖς οἴδαμεν ὅμοιον ἐν Αἰγύπτῳ κατὰ τὴν τῶν
also we know similar in Egypt in the of-the
κλάδων κατάκαμψιν, τοῖς δὲ φύλλοις ἀνόμοιον οὐδὲ καρπὸν
branches bending-down in-the but leaves unlike nor fruit

ἔχον· τοῦτο δ' ἔχειν φησί. τὰ δ' ἀκάνθινα ὑφαίνεται
having this but to-have he-says the and thorn-fabrics are-woven
καὶ ἐν Καππαδοκίᾳ, φέρει δ' οὐ δένδρον τὴν ἄκανθαν
also in Cappadocia bears but not tree the thorn
ἐξ ἧς ὁ φλοιός, ἀλλὰ χαμαίζηλος ἡ βοτάνη. τῷ
from which the bark but low-growing the plant to-the
δὲ δένδρῳ τῷ ἐν Γαδείροις καὶ τοῦτο προσιστόρηται ὅτι
and tree the in Gades also this is-added-in-record that
κλάδου μὲν ἀποκλωμένου γάλα ῥεῖ, ῥίζης δὲ τεμνομένης
branch indeed being-broken milk flows root but being-cut
μιλτῶδες ὑγρὸν ἀναφέρεται. τοσαῦτα καὶ περὶ Γαδείρων.
ruddle-colored liquid is-carried-up so-much also about Gades
11 αἱ δὲ Καττιτερίδες δέκα μέν εἰσι, κεῖνται δ' ἐγγὺς
the and Cassiterides ten indeed are lie and near
ἀλλήλων πρὸς ἄρκτον ἀπὸ τοῦ τῶν Ἀρτάβρων λιμένος
one-another toward north from the of-the Artabri harbor
πελάγιαι· μία δ' αὐτῶν ἔρημός ἐστι, τὰς δ' ἄλλας οἰκοῦσιν
out-at-sea one and of-them desert is the but others inhabit
ἄνθρωποι μελάγχλαινοι, ποδήρεις ἐνδεδυκότες τοὺς χιτῶνας,
men black-cloaked foot-length having-put-on the tunics
ἐζωσμένοι περὶ τὰ στέρνα, μετὰ ῥάβδων περιπατοῦντες,
girded about the breasts with staffs walking-about
ὅμοιοι ταῖς τραγικαῖς Ποιναῖς· ζῶσι δ' ἀπὸ βοσκημάτων
like to-the tragic Furies they-live and from cattle
νομαδικῶς τὸ πλέον. μέταλλα δὲ ἔχοντες καττιτέρου καὶ
nomadically the most mines but having of-tin and
μολίβδου κέραμον ἀντὶ τούτων καὶ τῶν δερμάτων
lead pottery in-exchange-for these and the hides
διαλλάττονται καὶ ἅλας καὶ χαλκώματα πρὸς τοὺς
they-barter and salt and bronze-wares with the
ἐμπόρους. πρότερον μὲν οὖν Φοίνικες μόνοι τὴν ἐμπορίαν
merchants formerly indeed then Phoenicians alone the trade

ἔστελλον ταύτην ἐκ τῶν Γαδείρων κρύπτοντες ἅπασι τὸν
sent this from — Gades hiding from-all the
πλοῦν· τῶν δὲ Ῥωμαίων ἐπακολουθούντων ναυκλήρῳ τινί,
voyage the and Romans following ship-captain some
ὅπως καὶ αὐτοὶ γνοῖεν τὰ ἐμπόρια, φθόνῳ ὁ ναύκληρος
so-that also themselves might-learn the markets through-envy the ship-captain
ἑκὼν εἰς τέναγος ἐξέβαλε τὴν ναῦν, ἐπαγαγὼν δ' εἰς
willingly onto shoal ran the ship having-led but into
τὸν αὐτὸν ὄλεθρον καὶ τοὺς ἑπομένους αὐτὸς ἐσώθη διὰ
the same destruction also those following he was-saved through
ναυαγίου, καὶ ἀπέλαβε δημοσίᾳ τὴν τιμὴν ὧν ἀπέβαλε
shipwreck and received publicly the price of-what he-lost
φορτίων. οἱ Ῥωμαῖοι δὲ ὅμως πειρώμενοι πολλάκις
cargoes the Romans but nevertheless trying often
ἐξέμαθον τὸν πλοῦν· ἐπειδὴ δὲ καὶ Πόπλιος Κράσσος
learned the voyage when and also Publius Crassus
διαβὰς ἐπ' αὐτοὺς ἔγνω τὰ μέταλλα ἐκ μικροῦ βάθους
having-crossed to them learned the mines from small depth
ὀρυττόμενα καὶ τοὺς ἄνδρας εἰρηναίους, ἐκ περιουσίας ἤδη
dug and the men peaceable from abundance already
τὴν θάλατταν ἐργάζεσθαι ταύτην τοῖς ἐθέλουσιν ἐπέδειξε
the sea to-work this to-those wishing he-showed
καίπερ οὖσαν πλείω τῆς διειργούσης τὴν Βρεττανικήν.
although being greater than-the separating — Britannica
καὶ περὶ μὲν Ἰβηρίας καὶ τῶν προκειμένων νήσων ταῦτα.
and about indeed Iberia and the lying-before islands these-things

BOOK IV

I · GAUL BEYOND THE ALPS AND MASSALIA

Next comes Celtica beyond the Alps. Some divided it into three, Aquitani, Belgae, and Celtae, the Aquitani differing from the rest in speech and body and resembling Iberians; the deified Caesar did so in his commentaries, and Augustus divided it into four. Its borders are the Pyrene, the Rhenus, the ocean, and the sea at Massalia and Narbo, with the Cemmenus running between. Its rivers carry cargoes from sea to sea, the Narbonitis bears what Italy bears, and its coast and roads are measured. Massalia, founded by the Phocaeans under the guidance of Ephesian Artemis, is governed by an aristocracy of six hundred; long Rome's friend, it lost most of its prosperity by siding with Pompey, and is now a school for Galatae and Romans alike.

Ἐφεξῆς δ' ἐστὶν ἡ ὑπὲρ τῶν Ἄλπεων Κελτική. ταύτης 1
next and is the beyond the Alps Celtica of-this
δὲ καὶ τὸ σχῆμα ὑπογέγραπται πρότερον τυπωδῶς καὶ
and both the shape has-been-sketched before in-outline and
τὸ μέγεθος· νυνὶ δὲ λεκτέον τὰ καθ' ἕκαστα. οἱ
the size now but one-must-tell the-things in particular the(-ones)
μὲν δὴ τριχῇ διῄρουν Ἀκυιτανοὺς καὶ Βέλγας καλοῦντες
indeed then in-three divided Aquitani and Belgae calling
καὶ Κέλτας, τοὺς μὲν Ἀκυιτανοὺς τελέως ἐξηλλαγμένους
and Celtae the indeed Aquitani completely different
οὐ τῇ γλώττῃ μόνον ἀλλὰ καὶ τοῖς σώμασιν ἐμφερεῖς
not in-the tongue only but also in-the bodies resembling
Ἴβηρσι μᾶλλον ἢ Γαλάταις, τοὺς δὲ λοιποὺς Γαλατικοὺς
Iberians more than Galatae the and rest Galatic
μὲν τὴν ὄψιν, ὁμογλώττους δ' οὐ πάντας, ἀλλ' ἐνίους
indeed in-the look of-same-tongue but not all but some
μικρὸν παραλλάττοντας ταῖς γλώτταις· καὶ πολιτεία δὲ
a-little varying in-the tongues and constitution and

καὶ οἱ βίοι μικρὸν ἐξηλλαγμένοι εἰσίν. Ἀκυιτανοὺς μὲν οὖν
also the lives a-little differing are Aquitani indeed then
καὶ Κέλτας ἔλεγον τοὺς πρὸς τῇ Πυρήνῃ, διωρισμένους
and Celtae they-called those near the Pyrene divided
τῷ Κεμμένῳ ὄρει. εἴρηται γὰρ ὅτι τὴν Κελτικὴν
by-the Cemmenus mountain it-has-been-said for that — Celtica
ταύτην ἀπὸ μὲν τῆς δύσεως ὁρίζει τὰ Πυρηναῖα ὄρη,
this from indeed the west bounds the Pyrenaean mountains
προσαπτόμενα τῆς ἑκατέρωθεν θαλάττης τῆς τε ἐντὸς καὶ
touching the on-each-side sea the both inner and
τῆς ἐκτός· ἀπὸ δὲ τῶν ἀνατολῶν ὁ Ῥῆνος παράλληλος
the outer from but the east the Rhenus parallel
ὢν τῇ Πυρήνῃ· τὰ δ' ἀπὸ τῶν ἄρκτων καὶ τῆς
being to-the Pyrene the-parts and from the north and the
μεσημβρίας τὰ μὲν ὁ ὠκεανὸς περιείληφεν ἀρξάμενος
south the(-ones) indeed the ocean has-encompassed having-begun
ἀπὸ τῶν βορείων ἄκρων τῆς Πυρήνης μέχρι τῶν ἐκβολῶν
from the northern headlands of-the Pyrene as-far-as the mouths
τοῦ Ῥήνου, τὰ δ' ἐξ ἐναντίας ἡ κατὰ Μασσαλίαν
of-the Rhenus the(-others) but from opposite the at Massalia
καὶ Νάρβωνα θάλαττα καὶ αἱ Ἄλπεις ἀπὸ τῆς Λιγυστικῆς
and Narbo sea and the Alps from — Liguria
ἀρξάμεναι μέχρι τῶν πηγῶν τοῦ Ῥήνου. τῇ δὲ Πυρήνῃ
having-begun as-far-as the sources of-the Rhenus to-the and Pyrene
πρὸς ὀρθὰς ἥκται Κέμμενον ὄρος διὰ μέσων τῶν
at right-angles has-been-drawn Cemmenus mountain through middle of-the
πεδίων, καὶ παύεται κατὰ μέσα πλησίον Λουγδούνου, περὶ
plains and stops at the-middle near Lugdunum about
δισχιλίους ἐκταθὲν σταδίους. Ἀκυιτανοὺς μὲν τοίνυν ἔλεγον
two-thousand stretched stades Aquitani indeed then they-called
τοὺς τὰ βόρεια τῆς Πυρήνης μέρη κατέχοντας καὶ τῆς
those the northern of-the Pyrene parts occupying and of-the

Κεμμένης μέχρι πρὸς τὸν ὠκεανὸν τὰ ἐντὸς Γαρούνα
Cemmenus as-far-as to the ocean the-parts inside Garumna
ποταμοῦ, Κέλτας δὲ τοὺς ἐπὶ θάτερα μέρη καθήκοντας καὶ
river Celtae and those to the-other parts extending and
τὴν κατὰ Μασσαλίαν καὶ Νάρβωνα θάλατταν, ἁπτομένους
the at Massalia and Narbo sea touching
δὲ καὶ τῶν Ἀλπεινῶν ὀρῶν ἐνίων, Βέλγας δ' ἔλεγον
and also of-the Alpine mountains some Belgae and they-called
τοὺς λοιπούς τε τῶν παρωκεανιτῶν μέχρι τῶν ἐκβολῶν
the rest both of-the coast-dwellers as-far-as the mouths
τοῦ Ῥήνου καί τινας τῶν παροικούντων τὸν Ῥῆνον
of-the Rhenus and some of-those dwelling-along the Rhenus
καὶ τὰς Ἄλπεις. οὕτω δὲ καὶ ὁ θεὸς Καῖσαρ ἐν τοῖς
and the Alps so and also the god Caesar in the
ὑπομνήμασιν εἴρηκεν. ὁ δὲ Σεβαστὸς Καῖσαρ τετραχῇ
commentaries has-said — but Augustus Caesar in-four
διελὼν τοὺς μὲν Κέλτας τῆς Ναρβωνίτιδος ἐπαρχίας
having-divided the indeed Celtae of-the Narbonitic province
ἀπέφηνεν, Ἀκυιτανοὺς δ' οὕσπερ κἀκεῖνος, προσέθηκε δὲ
declared Aquitani and whom-very also-he added and
τετταρεσκαίδεκα ἔθνη τῶν μεταξὺ τοῦ Γαρούνα καὶ τοῦ
fourteen nations of-those between the Garumna and the
Λίγηρος ποταμοῦ νεμομένων· τὴν δὲ λοιπὴν διελὼν δίχα
Liger river dwelling the but rest having-divided in-two
τὴν μὲν Λουγδούνῳ προσώρισε μέχρι τῶν ἄνω μερῶν
the(-one) indeed to-Lugdunum he-attached as-far-as the upper parts
τοῦ Ῥήνου, τὴν δὲ τοῖς Βέλγαις. ὅσα μὲν οὖν
of-the Rhenus the(-other) but to-the Belgae as-many-things-as indeed then
φυσικῶς διώρισται δεῖ λέγειν τὸν γεωγράφον καὶ
by-nature have-been-divided it-is-needful to-tell the geographer and
ὅσα ἐθνικῶς, ὅταν ᾖ καὶ μνήμης ἄξια, ὅσα

δ' οἱ ἡγεμόνες πρὸς τοὺς καιροὺς πολιτευόμενοι
but the governors according-to the occasions governing
διατάττουσι ποικίλως, ἀρκεῖ κἂν ἐν κεφαλαίῳ τις εἴπῃ,
arrange variously it-suffices even-if in summary anyone tells
τοῦ δ' ἀκριβοῦς ἄλλοις παραχωρητέον.
of-the and exact to-others one-must-yield

2 ἅπασα μὲν οὖν ἐστιν αὕτη ποταμοῖς κατάρρυτος ἡ χώρα,
all indeed then is this with-rivers watered the country
τοῖς μὲν ἐκ τῶν Ἄλπεων καταφερομένοις τοῖς δ' ἐκ τοῦ
those indeed from the Alps borne-down those and from the
Κεμμένου καὶ τῆς Πυρήνης, καὶ τοῖς μὲν εἰς τὸν ὠκεανὸν
Cemmenus and the Pyrene and those indeed into the ocean
ἐκβάλλουσι τοῖς δὲ εἰς τὴν ἡμετέραν θάλατταν. δι' ὧν
emptying those but into the our sea through which
δὲ φέρονται χωρίων, πεδία ἐστὶ τὰ πλεῖστα καὶ γεωλοφίαι
and they-flow places plains are the most and hills
διάρρους ἔχουσαι πλωτούς. οὕτως δ' εὐφυῶς ἴσχει τὰ
channels having navigable so and conveniently are the
ῥεῖθρα πρὸς ἄλληλα ὥστ' ἐξ ἑκατέρας τῆς θαλάττης
streams toward one-another so-that from each the sea
εἰς ἑκατέραν κατακομίζεσθαι, πορευομένων τῶν φορτίων
into each to-be-conveyed being-carried the cargoes
ἐπ' ὀλίγον καὶ διὰ πεδίων εὐμαρῶς, τὸ δὲ πλέον τοῖς
for a-little-way also through plains easily the but more on-the
ποταμοῖς, τοῖς μὲν ἀναγομένων τοῖς δὲ καταγομένων.
rivers the(-ones) indeed being-carried-up the(-others) but being-carried-down
ἔχει δέ τι πλεονέκτημα πρὸς τοῦτο ὁ Ῥοδανός· καὶ γὰρ
has and some advantage for this the Rhodanus also for
πολλαχόθεν ἐστὶ σύρρους, καὶ συνάπτει πρὸς τὴν ἡμετέραν
from-many-places is fed-by-tributaries and joins to the our
θάλατταν κρείττω τῆς ἐκτὸς οὖσαν, ὥσπερ εἴρηται,
sea better than-the outer being as has-been-said

καὶ διὰ χώρας διέξεισι τῆς εὐδαιμονεστάτης τῶν ταύτῃ.
and through country passes the most-fortunate of-the here
τοὺς γὰρ αὐτοὺς ἐκφέρει καρποὺς ἡ Ναρβωνῖτις ἅπασα
the for same bears fruits — Narbonitis all
ὥσπερ ἡ Ἰταλία. προϊόντι δ' ἐπὶ τὰς ἄρκτους καὶ τὸ
as — Italy for-one-advancing but toward the north and the
Κέμμενον ὄρος ἡ μὲν ἐλαιόφυτος καὶ συκοφόρος ἐκλείπει,
Cemmenus mountain the indeed olive-planted and fig-bearing fails
τἆλλα δὲ φύεται. καὶ ἡ ἄμπελος δὲ προϊοῦσιν οὐ
the-other-things but grow and the vine and for-those-advancing not
ῥᾳδίως τελεσφορεῖ· ἡ δ' ἄλλη πᾶσα σῖτον φέρει πολὺν
easily ripens the but other all grain bears much
καὶ κέγχρον καὶ βάλανον καὶ βοσκήματα παντοῖα, ἀργὸν
and millet and acorn and cattle of-all-kinds idle
δ' αὐτῆς οὐδὲν πλὴν εἴ τι ἕλεσι κεκώλυται καὶ δρυμοῖς·
and of-it nothing except if any by-marshes is-hindered and by-forests
καίτοι καὶ τοῦτο συνοικεῖται πολυανθρωπίᾳ μᾶλλον ἢ
and-yet also this is-inhabited by-populousness rather than
ἐπιμελείᾳ. καὶ γὰρ τοκάδες αἱ γυναῖκες καὶ τρέφειν
by-care also for prolific the women and to-nurse
ἀγαθαί, οἱ δ' ἄνδρες μαχηταὶ μᾶλλον ἢ γεωργοί· νῦν δ'
good the and men warriors rather than farmers now but
ἀναγκάζονται γεωργεῖν καταθέμενοι τὰ ὅπλα. κοινῇ μὲν
they-are-compelled to-farm having-laid-down the arms in-common indeed
οὖν ταῦτα λέγομεν περὶ πάσης τῆς ἐκτὸς Κελτικῆς, περὶ
then these-things we-say about all the outer Celtica about
δὲ τῶν τεταρτημορίων ἑκάστου διαλαβόντες λέγωμεν νυνὶ
and the fourth-parts each having-distinguished let-us-speak now
μεμνημένοι τυπωδῶς, καὶ πρῶτον περὶ τῆς Ναρβωνίτιδος.
having-mentioned in-outline and first about — Narbonitis

3 ταύτης δὲ τὸ σχῆμα παραλληλόγραμμόν πώς ἐστιν, ἐκ
of-this and the shape parallelogram somehow is from
μὲν τῆς ἑσπέρας γραφόμενον τῇ Πυρήνῃ πρὸς δὲ τὰς
indeed the west described by-the Pyrene toward and the
ἄρκτους τῷ Κεμμένῳ· τὰς δὲ λοιπὰς τὴν μὲν νότιον
north by-the Cemmenus the and remaining the indeed southern
ἡ θάλαττα ποιεῖ μεταξὺ Πυρήνης καὶ Μασσαλίας, τὴν δ’
the sea makes between Pyrene and Massalia the but
ἑωθινὴν αἱ Ἄλπεις ἐκ μέρους καὶ τὸ μεταξὺ διάστημα τῶν
eastern the Alps in part and the between distance of-the
Ἄλπεων ἐπ’ εὐθείας αὐταῖς ληφθὲν καὶ τῶν ὑπωρειῶν τοῦ
Alps in straight-line with-them taken and the foothills of-the
Κεμμένου τῶν καθηκουσῶν ἐπὶ τὸν Ῥοδανὸν καὶ ποιουσῶν
Cemmenus those extending to the Rhodanus and making
ὀρθὴν γωνίαν πρὸς τὴν λεχθεῖσαν ἀπὸ τῶν Ἄλπεων
right angle with the said from the Alps
εὐθεῖαν. τῷ δὲ νοτίῳ πρόσκειται παρὰ τὸ λεχθὲν σχῆμα
straight-line to-the and southern lies-near beside the said shape
ἡ ἐφεξῆς παραλία, ἣν ἔχουσιν οἵ τε Μασσαλιῶται καὶ
the next coast which hold the both Massaliotes and
οἱ Σάλυες μέχρι Λιγύων ἐπὶ τὰ πρὸς Ἰταλίαν μέρη καὶ
the Salyes as-far-as Ligurians to the toward Italy parts and
τὸν Οὐᾶρον ποταμόν. οὗτος δ’ ἐστίν, ὡς εἶπον πρότερον,
the Varus river this and is as I-said before
ὅριον τῆς Ναρβωνίτιδος καὶ τῆς Ἰταλίας· ὑπάρχει δὲ
boundary — of-Narbonitis and — of-Italy is and
θέρους μὲν μικρός, χειμῶνος δὲ καὶ μέχρι ἑπτὰ σταδίων
in-summer indeed small in-winter but even as-far-as seven stades
πλατυνόμενος. ἐντεῦθεν μὲν οὖν ἡ παραλία παρατείνει
widening from-here indeed then the coast stretches
μέχρι τοῦ ἱεροῦ τῆς Πυρηναίας Ἀφροδίτης· τοῦτο δ’
as-far-as the temple of-the Pyrenaean Aphrodite this and

ἐστὶν ὅριον ταύτης τε τῆς ἐπαρχίας καὶ τῆς Ἰβηρικῆς·
is boundary of-this both the province and of-the Iberian
ἔνιοι δὲ τὸν τόπον ἐν ᾧ ἐστι τὰ Πομπηίου τρόπαια
some and the place in which are the of-Pompey trophies
ὅριον Ἰβηρίας ἀποφαίνουσι καὶ τῆς Κελτικῆς. ἔστι δ'
boundary of-Iberia show and — of-Celtica it-is and
ἔνθεν μὲν εἰς Νάρβωνα μίλια ἑξήκοντα τρία, ἐκεῖθεν δὲ
from-there indeed to Narbo miles sixty three from-there and
εἰς Νέμαυσον ὀγδοήκοντα ὀκτώ, ἐκ Νεμαύσου δὲ διὰ
to Nemausus eighty eight from Nemausus and through
Οὐγέρνου καὶ Ταρούσκωνος εἰς τὰ θερμὰ ὕδατα τὰ Σέξτια
Ugernum and Tarusco to the hot waters the Sextian
καλούμενα, ἅπερ πλησίον Μασσαλίας ἐστί, πεντήκοντα
called which-very near Massalia are fifty
τρία, ἐντεῦθεν δὲ εἰς Ἀντίπολιν καὶ τὸν Οὐᾶρον ποταμὸν
three from-here and to Antipolis and the Varus river
ἑβδομήκοντα τρία, ὥστε τὰ σύμπαντα γίνεται μίλια
seventy three so-that the all becomes miles
διακόσια ἑβδομήκοντα ἑπτά. ἔνιοι δ' ἀπὸ τοῦ Ἀφροδισίου
two-hundred seventy seven some and from the Aphrodisium
μέχρι τοῦ Οὐάρου σταδίους ἀνέγραψαν δισχιλίους
as-far-as the Varus stades recorded two-thousand
ἑξακοσίους, οἱ δὲ καὶ διακοσίους προστιθέασιν· οὐ γὰρ
six-hundred the(-others) but also two-hundred add not for
ὁμολογεῖται περὶ τῶν διαστημάτων. κατὰ δὲ τὴν ἑτέραν
it-is-agreed about the distances along and the other
ὁδὸν τὴν διὰ Οὐοκοντίων καὶ τῆς Κοττίου μέχρι μὲν
road the through Vocontii and the of-Cottius as-far-as indeed
Οὐγέρνου καὶ Ταρούσκωνος κοινὴ ὁδὸς ἡ ἀπὸ Νεμαύσου,
Ugernum and Tarusco common road the from Nemausus
ἐντεῦθεν δὲ ἐπὶ μὲν τοὺς Οὐοκοντίων ὅρους καὶ τὴν
from-here and to indeed the of-Vocontii boundaries and the

ἀρχὴν τῆς ἀναβάσεως τῶν Ἄλπεων διὰ Δρουεντία καὶ
beginning of-the ascent of-the Alps through Druentia and
Καβαλλίωνος μίλια ἑξήκοντα τρία· πάλιν δ' ἐντεῦθεν ἐπὶ
Caballio miles sixty three again and from-here to
τοὺς ἑτέρους ὅρους τῶν Οὐοκοντίων πρὸς τὴν Κοττίου
the other boundaries of-the Vocontii toward the of-Cottius
μίλια ἑκατὸν ἑνὸς δέοντα ἐπ' Ἐβρόδουνον κώμην· εἶτ'
miles hundred one lacking to Ebrodunum village then
ἄλλα τοσαῦτα διὰ Βριγαντίου κώμης καὶ Σκιγγομάγου
other as-many through Brigantium village and Scingomagus
καὶ τῆς τῶν Ἄλπεων ὑπερθέσεως ἐπὶ Ὄκελον, τὸ πέρας
and the of-the Alps pass to Ocelum the end
τῆς Κοττίου γῆς· ἡ ἀπὸ Σκιγγομάγου δὲ ἤδη Ἰταλία
of-the of-Cottius land the from Scingomagus and already Italy
λέγεται· ἔστι δὲ ἐνθένδε ἐπὶ Ὄκελον μίλια εἰκοσιοκτώ.
is-called it-is and from-here to Ocelum miles twenty-eight
4 κτίσμα δ' ἐστὶ Φωκαιέων ἡ Μασσαλία, κεῖται δ' ἐπὶ χωρίου
foundation and is of-Phocaeans — Massalia lies and on place
πετρώδους· ὑποπέπτωκε δ' αὐτῆς ὁ λιμὴν θεατροειδεῖ
rocky lies-under and it the harbor theater-shaped
πέτρᾳ βλεπούσῃ πρὸς νότον. τετείχισται δὲ καὶ αὕτη
rock looking toward south is-walled and both this
καλῶς καὶ ἡ πόλις σύμπασα μέγεθος ἔχουσα ἀξιόλογον.
well and the city whole size having considerable
ἐν δὲ τῇ ἄκρᾳ τὸ Ἐφέσιον ἵδρυται καὶ τὸ τοῦ Δελφινίου
on and the headland the Ephesium is-set and the of-the Delphinian
Ἀπόλλωνος ἱερόν· τοῦτο μὲν κοινὸν Ἰώνων ἁπάντων, τὸ δὲ
Apollo temple this indeed common of-Ionians all the but
Ἐφέσιον τῆς Ἀρτέμιδός ἐστι νεὼς τῆς Ἐφεσίας. ἀπαίρουσι
Ephesium — of-Artemis is temple the Ephesian to-departing
γὰρ τοῖς Φωκαιεῦσιν ἐκ τῆς οἰκείας λόγιον ἐκπεσεῖν

φασιν ἡγεμόνι χρήσασθαι τοῦ πλοῦ παρὰ τῆς Ἐφεσίας
they-say leader to-use of-the voyage from the Ephesian
Ἀρτέμιδος λαβοῦσι· τοὺς μὲν δὴ προσαχθέντας τῇ
Artemis having-received those indeed then having-put-in —
Ἐφέσῳ ζητεῖν ὅντινα τρόπον ἐκ τῆς θεοῦ πορίσαιντο τὸ
to-Ephesus to-seek in-what manner from the goddess they-might-obtain the
προσταχθέν. Ἀριστάρχῃ δὲ τῶν ἐντίμων σφόδρα γυναικῶν
thing-ordered to-Aristarche and of-the honored very women
παραστῆναι κατ᾽ ὄναρ τὴν θεὸν καὶ κελεῦσαι συναπαίρειν
to-have-stood-by in dream the goddess and to-have-bidden to-depart-with
τοῖς Φωκαιεῦσιν ἀφίδρυμά τι τῶν ἱερῶν λαβούσῃ·
the Phocaeans copy some of-the sacred-objects having-taken
γενομένου δὲ τούτου καὶ τῆς ἀποικίας λαβούσης τέλος,
having-happened and this and the colony having-received completion
τό τε ἱερὸν ἱδρύσασθαι καὶ τὴν Ἀριστάρχην τιμῆσαι
the both temple to-have-set-up and — Aristarche to-have-honored
διαφερόντως ἱέρειαν ἀποδείξαντας, ἔν τε ταῖς ἀποίκοις
especially priestess having-appointed in both the colonial
πόλεσι πανταχοῦ τιμᾶν ἐν τοῖς πρώτοις ταύτην τὴν θεὸν
cities everywhere to-honor among the first this the goddess
καὶ τοῦ ξοάνου τὴν διάθεσιν τὴν αὐτὴν καὶ τἆλλα νόμιμα
and of-the image the arrangement the same and the-other customs
φυλάττειν τὰ αὐτὰ ἅπερ ἐν τῇ μητροπόλει νενόμισται.
to-keep the same which-very in the mother-city are-customary
διοικοῦνται δ᾽ ἀριστοκρατικῶς οἱ Μασσαλιῶται πάντων 5
are-governed and aristocratically the Massaliotes of-all
εὐνομώτατα, ἀνδρῶν ἑξακοσίων καταστήσαντες συνέδριον
most-lawfully of-men six-hundred having-established council
διὰ βίου ταύτην ἐχόντων τὴν τιμήν, οὓς τιμούχους
for life this holding the honor whom timuchi
καλοῦσι. πεντεκαίδεκα δ᾽ εἰσὶ τοῦ συνεδρίου προεστῶτες,
they-call fifteen and are of-the council presiding

τούτοις δὲ τὰ πρόχειρα διοικεῖν δέδοται. πάλιν δὲ τῶν
to-these and the urgent-business to-administer has-been-given again and over-the
πεντεκαίδεκα προκάθηνται τρεῖς οἱ πλεῖστον ἰσχύοντες,
fifteen preside three those most having-power
τούτων δὲ εἷς· τιμοῦχος δ' οὐ γίνεται μὴ τέκνα ἔχων μηδὲ
of-these and one timuchus and not becomes not children having nor
διὰ τριγονίας ἐκ πολιτῶν γεγονώς. οἱ δὲ νόμοι Ἰωνικοί,
through three-generations from citizens born the and laws Ionic
πρόκεινται δὲ δημοσίᾳ. χώραν δ' ἔχουσιν ἐλαιόφυτον
lie-exposed and publicly country and they-have olive-planted
μὲν καὶ κατάμπελον, σίτῳ δὲ λυπροτέραν διὰ τὴν
indeed and vine-planted in-grain but poorer because-of the
τραχύτητα, ὥστε πεποιθότες τῇ θαλάττῃ μᾶλλον ἢ
ruggedness so-that trusting in-the sea rather than
τῇ γῇ τὸ πρὸς ναυτιλίας εὐφυὲς εἵλοντο μᾶλλον.
in-the land the for seafaring natural-advantage they-chose rather
ὕστερον μέντοι ταῖς ἀνδραγαθίαις ἴσχυσαν προσλαβεῖν
later however by-the brave-deeds they-were-able to-take-in-addition
τινα τῶν πέριξ πεδίων ἀπὸ τῆς αὐτῆς δυνάμεως ἀφ'
some of-the surrounding plains from the same power from
ἧς καὶ τὰς πόλεις ἔκτισαν, ἐπιτειχίσματα τὰς μὲν
which also the cities they-founded fortresses the(-ones) indeed
κατὰ τὴν Ἰβηρίαν τοῖς Ἴβηρσιν, οἷς καὶ τὰ ἱερὰ
in — Iberia against-the Iberians to-whom also the sacred-rites
τῆς Ἐφεσίας Ἀρτέμιδος παρέδοσαν τὰ πάτρια ὥστε
of-the Ephesian Artemis they-handed-down the ancestral so-that
ἑλληνιστὶ θύειν, τὴν δὲ *** Ῥόην Ἀγάθην τοῖς
in-Greek-fashion to-sacrifice — and (lacuna) Rhoe Agathe against-the
περὶ τὸν ποταμὸν οἰκοῦσι τὸν Ῥοδανὸν βαρβάροις, τὸ δὲ
about the river dwelling the Rhodanus barbarians — and
Ταυροέντιον καὶ τὴν Ὀλβίαν καὶ Ἀντίπολιν καὶ Νίκαιαν
Tauroentium and — Olbia and Antipolis and Nicaea

τῷ τῶν Σαλύων ἔθνει καὶ τοῖς Λίγυσι τοῖς τὰς Ἄλπεις
against-the of-the Salyes nation and the Ligurians those the Alps
οἰκοῦσιν. εἰσὶ δὲ καὶ νεώσοικοι παρ᾽ αὐτοῖς καὶ ὁπλοθήκη·
inhabiting are and also dockyards among them and armory
πρότερον δὲ καὶ πλοίων εὐπορία καὶ ὅπλων καὶ ὀργάνων
formerly and also of-ships abundance and of-arms and of-engines
τῶν τε πρὸς τὰς ναυτιλίας χρησίμων καὶ τῶν πρὸς
those both for the seafaring useful and those for
πολιορκίας, ἀφ᾽ ὧν πρός τε τοὺς βαρβάρους ἀντέσχον
sieges from which both against the barbarians they-held-out
καὶ Ῥωμαίους ἐκτήσαντο φίλους, καὶ πολλὰ καὶ αὐτοὶ
and Romans acquired as-friends and many-things also themselves
χρήσιμοι κατέστησαν ἐκείνοις κἀκεῖνοι προσέλαβον τῆς
useful became to-those and-those took-a-share of-the
αὐξήσεως αὐτῶν. Σέξτιος γοῦν ὁ καταλύσας τοὺς
increase their Sextius at-least the(-one) having-put-down the
Σάλυας, οὐ πολὺ ἄπωθεν τῆς Μασσαλίας κτίσας πόλιν
Salyes not far off — from-Massalia having-founded city
ὁμώνυμον ἑαυτοῦ τε καὶ τῶν ὑδάτων τῶν θερμῶν,
of-the-same-name of-himself both and of-the waters the hot
ὧν τινὰ μεταβεβληκέναι φασὶν εἰς ψυχρά, ἐνταῦθά τε
of-which some to-have-changed they-say into cold there both
φρουρὰν κατῴκισε Ῥωμαίων, καὶ ἐκ τῆς παραλίας τῆς
garrison settled of-Romans and from the coast the
εἰς τὴν Ἰταλίαν ἀγούσης ἀπὸ Μασσαλίας ἀνέστειλε τοὺς
to — Italy leading from Massalia drove-back the
βαρβάρους, οὐ δυναμένων τῶν Μασσαλιωτῶν ἀνείργειν
barbarians not being-able the Massaliotes to-keep-off
αὐτοὺς τελέως. οὐδ᾽ αὐτὸς δὲ πλέον ἴσχυσεν ἀλλ᾽ ἢ
them completely not-even he but more prevailed but than
τοσοῦτον μόνον ὅσον κατὰ μὲν τὰ εὐλίμενα ἀπὸ τῆς
so-much only as-much-as along indeed the well-harbored-parts from the

θαλάττης ἀπελθεῖν τοὺς βαρβάρους ἐπὶ δώδεκα σταδίους,
sea to-withdraw the barbarians for twelve stades
κατὰ δὲ τοὺς τραχῶνας ἐπὶ ὀκτώ· τὴν δὲ λειφθεῖσαν ὑπ᾽
along but the rough-places for eight the but left by
ἐκείνων τοῖς Μασσαλιώταις παραδέδωκεν. ἀνάκειται δ᾽ ἐν
them to-the Massaliotes he-has-handed-over are-dedicated and in
πόλει συχνὰ τῶν ἀκροθινίων, ἃ ἔλαβον καταναυμαχοῦντες
city many of-the spoils which they-took defeating-at-sea
ἀεὶ τοὺς ἀμφισβητοῦντας τῆς θαλάττης ἀδίκως. πρότερον
always those disputing the sea unjustly formerly
μὲν οὖν εὐτύχουν διαφερόντως περί τε τἆλλα καὶ περὶ
indeed then they-prospered especially about both the-other-things and about
τὴν πρὸς Ῥωμαίους φιλίαν, ἧς πολλὰ ἄν τις λάβοι
the toward Romans friendship of-which many — anyone could-take
σημεῖα· καὶ δὴ καὶ τὸ ξόανον τῆς Ἀρτέμιδος τῆς ἐν τῷ
signs and indeed also the image — of-Artemis the on the
Ἀβεντίνῳ οἱ Ῥωμαῖοι τὴν αὐτὴν διάθεσιν ἔχον τῷ παρὰ
Aventine the Romans the same arrangement having to-the among
τοῖς Μασσαλιώταις ἀνέθεσαν. κατὰ δὲ τὴν Πομπηίου πρὸς
the Massaliotes dedicated in and the of-Pompey with
Καίσαρα στάσιν τῷ κρατηθέντι μέρει προσθέμενοι
Caesar faction to-the conquered side having-attached-themselves
τὴν πολλὴν τῆς εὐδαιμονίας ἀπέβαλον, ὅμως δ᾽ οὖν
the most of-the prosperity they-lost nevertheless but then
ἴχνη λείπεται τοῦ παλαιοῦ ζήλου παρὰ τοῖς ἀνθρώποις
traces are-left of-the old zeal among the men
καὶ μάλιστα περὶ τὰς ὀργανοποιίας καὶ τὴν ναυτικὴν
and especially about the engine-making and the naval
παρασκευήν. ἐξημερουμένων δ᾽ ἀεὶ τῶν ὑπερκειμένων
equipment being-tamed and always the lying-above
βαρβάρων καὶ ἀντὶ τοῦ πολεμεῖν τετραμμένων ἤδη
barbarians and instead-of the to-make-war having-turned already

πρὸς πολιτείας καὶ γεωργίας διὰ τὴν τῶν Ῥωμαίων
to constitutions and farming because-of the of-the Romans
ἐπικράτειαν, οὐδ᾽ αὐτοῖς ἔτι τούτοις συμβαίνοι ἂν περὶ τὰ
dominance not-even for-them still these would-happen — about the
λεχθέντα τοσαύτη σπουδή. δηλοῖ δὲ τὰ καθεστηκότα
said-things so-great zeal shows and the-things established
νυνί· πάντες γὰρ οἱ χαρίεντες πρὸς τὸ λέγειν τρέπονται
now all for the cultivated to the speaking turn
καὶ φιλοσοφεῖν, ὥσθ᾽ ἡ πόλις μικρὸν μὲν πρότερον
and to-philosophize so-that the city a-little indeed before
τοῖς βαρβάροις ἀνεῖτο παιδευτήριον, καὶ φιλέλληνας
for-the barbarians was-thrown-open school and philhellenes
κατεσκεύαζε τοὺς Γαλάτας ὥστε καὶ τὰ συμβόλαια ἑλληνιστὶ
was-making the Galatae so-that even the contracts in-Greek
γράφειν, ἐν δὲ τῷ παρόντι καὶ τοὺς γνωριμωτάτους
to-write in but the present also the most-notable
Ῥωμαίων πέπεικεν ἀντὶ τῆς εἰς Ἀθήνας ἀποδημίας ἐκεῖσε
of-Romans has-persuaded instead-of the to Athens journey there
φοιτᾶν φιλομαθεῖς ὄντας. ὁρῶντες δὲ τούτους οἱ Γαλάται
to-go learning-loving being seeing and these the Galatae
καὶ ἅμα εἰρήνην ἄγοντες, τὴν σχολὴν ἄσμενοι πρὸς
and at-the-same-time peace keeping the leisure gladly toward
τοὺς τοιούτους διατίθενται βίους οὐ κατ᾽ ἄνδρα μόνον
the such dispose lives not man-by man only
ἀλλὰ καὶ δημοσίᾳ· σοφιστὰς γοῦν ὑποδέχονται τοὺς μὲν
but also publicly sophists at-least they-receive the(-ones) indeed
ἰδίᾳ, τοὺς δὲ πόλεις κοινῇ μισθούμεναι, καθάπερ καὶ
privately the(-others) but cities in-common hiring as also
ἰατρούς. τῆς δὲ λιτότητος τῶν βίων καὶ τῆς σωφροσύνης
physicians of-the and frugality of-the lives and of-the temperance
τῶν Μασσαλιωτῶν οὐκ ἐλάχιστον ἄν τις θείη τοῦτο
of-the Massaliotes not least — anyone would-set this

τεκμήριον· ἡ γὰρ μεγίστη προὶξ αὐτοῖς ἐστιν ἑκατὸν χρυσοῖ
proof the for greatest dowry for-them is a-hundred gold-pieces
καὶ εἰς ἐσθῆτα πέντε καὶ πέντε εἰς χρυσοῦν κόσμον· πλέον
and for clothing five and five for gold ornament more
δ' οὐκ ἔξεστι. καὶ ὁ Καῖσαρ δὲ καὶ οἱ μετ' ἐκεῖνον
but not it-is-allowed and — Caesar and and those after him
ἡγεμόνες πρὸς τὰς ἐν τῷ πολέμῳ γενηθείσας ἁμαρτίας
governors toward the in the war committed errors
ἐμετρίασαν μεμνημένοι τῆς φιλίας καὶ τὴν αὐτονομίαν
were-moderate remembering the friendship and the autonomy
ἐφύλαξαν, ἣν ἐξ ἀρχῆς εἶχεν ἡ πόλις, ὥστε μὴ ὑπακούειν
preserved which from beginning had the city so-that not to-obey
τῶν εἰς τὴν ἐπαρχίαν πεμπομένων στρατηγῶν μήτε αὐτὴν
those into the province sent praetors neither itself
μήτε τοὺς ὑπηκόους. περὶ μὲν Μασσαλίας ταῦτα.
nor the subjects about indeed Massalia these-things

Beyond Massalia the coast curves into the double Galatic gulf, toward Narbo, the greatest emporium of the region, and Arelate on the Rhodanus. Near Ruscino fish are dug from the mud with tridents. Between Massalia and the Rhodanus lies the Stony Plain, which Aristotle and Posidonius explain, and Aeschylus has Prometheus foretell that Zeus would rain stones on it for Heracles; Strabo defends the myth against Posidonius. Marius cut a canal at the Rhodanus' silted mouths and gave its tolls to Massalia. The coast to the Varus holds Massaliote towns and the naval station of Forum Julium; the river valleys and peoples between the Alps and the Rhodanus follow, with Vienna and Lugdunum.

ἅμα δ' ἥ τε τῶν Σαλύων ὀρεινὴ πρὸς ἄρκτον 6
at-the-same-time and the both of-the Salyes mountain-country toward north
ἀπὸ τῆς ἑσπέρας κλίνει μᾶλλον καὶ τῆς θαλάττης
from the west inclines more and from-the sea
ἀφίσταται κατὰ μικρόν, καὶ ἡ παραλία παρὰ τὴν ἑσπέραν
stands-off little-by little and the coast toward the west
περινεύει· μικρὸν δ' ἀπὸ τῆς πόλεως τῶν Μασσαλιωτῶν
bends a-little and from the city of-the Massaliotes
προελθοῦσα ὅσον εἰς ἑκατὸν σταδίους ἐπὶ ἄκραν εὐμεγέθη
having-advanced as-much-as to a-hundred stades to headland large
πλησίον λατομιῶν τινων ἐντεῦθεν ἄρχεται κολποῦσθαι καὶ
near quarries some from-here begins to-curve and
ποιεῖν τὸν Γαλατικὸν κόλπον πρὸς τὸ Ἀφροδίσιον τὸ τῆς
to-make the Galatic gulf toward the Aphrodisium the of-the
Πυρήνης ἄκρον· καλοῦσι δ' αὐτὸν καὶ Μασσαλιωτικόν.
Pyrene headland they-call and it also Massaliotic
ἔστι δ' ὁ κόλπος διπλοῦς· ἐν γὰρ τῇ αὐτῇ περιγραφῇ δύο
is and the gulf double in for the same outline two
κόλπους ἀφορίζον ἔκκειται τὸ Σήτιον ὄρος, προσλαβὸν
gulfs marking-off juts-out the Setium mountain having-taken-in-addition

καὶ τὴν Βλάσκωνα νῆσον πλησίον ἱδρυμένην· τῶν δὲ
also — Blascon island near situated of-the and
κόλπων ὁ μὲν μείζων ἰδίως πάλιν καλεῖται Γαλατικός,
gulfs the indeed greater specifically again is-called Galatic
εἰς ὃν ἐξερεύγεται τὸ τοῦ Ῥοδανοῦ στόμα, ὁ δ' ἐλάττων
into which disgorges the of-the Rhodanus mouth the but lesser
ὁ κατὰ Νάρβωνά ἐστι μέχρι Πυρήνης. ἡ μὲν οὖν Νάρβων
the at Narbo is as-far-as Pyrene — indeed then Narbo
ὑπέρκειται τῶν τοῦ Ἄτακος ἐκβολῶν καὶ τῆς λίμνης τῆς
lies-above the of-the Atax mouths and of-the lake the
Ναρβωνίτιδος, μέγιστον ἐμπόριον τῶν ταύτῃ, πρὸς δὲ
Narbonitic greatest emporium of-those here near and
τῷ Ῥοδανῷ πόλις ἐστὶ καὶ ἐμπόριον οὐ μικρὸν Ἀρελᾶτε·
the Rhodanus city is and emporium not small Arelate
ἴσον δέ πως διέχει τὰ ἐμπόρια ταῦτα ἀλλήλων
equal and somehow are-distant the emporia these from-one-another
τε καὶ τῶν εἰρημένων ἄκρων, ἡ μὲν Νάρβων τοῦ
both and from-the said headlands — indeed Narbo from-the
Ἀφροδισίου τὸ δ' Ἀρελᾶτε τῆς Μασσαλίας. ἑκατέρωθεν
Aphrodisium — but Arelate — from-Massalia on-each-side
δὲ τῆς Νάρβωνος ἄλλοι ποταμοὶ ῥέουσιν οἱ μὲν
and — of-Narbo other rivers flow the(-ones) indeed
ἐκ τῶν Κεμμένων ὀρῶν οἱ δ' ἐκ τῆς Πυρήνης,
from the Cemmenus mountains the(-others) but from the Pyrene
πόλεις ἔχοντες εἰς ἃς ἀνάπλους οὐ πολύς ἐστι μικροῖς
cities having to which voyage-up not long is for-small
πλοίοις. ἐκ μὲν τῆς Πυρήνης ὅ τε Ῥουσκίνων καὶ ὁ
boats from indeed the Pyrene the both Ruscino and the
Ἰλίβιρρις, πόλιν ἔχων ὁμώνυμον ἑκάτερος αὐτῶν· τοῦ δὲ
Illiberis city having of-the-same-name each of-them the and
Ῥουσκίνωνος καὶ λίμνη πλησίον ἐστὶ καὶ χωρίον ὕφυδρον
of-Ruscino both lake near is and place watery

μικρὸν ὑπὲρ τῆς θαλάττης, ἁλυκίδων μεστόν, τὸ τοὺς
a-little above the sea of-salt-pools full the(-one) the
ὀρυκτοὺς κεστρεῖς ἔχον· δύο γὰρ ἢ τρεῖς ὀρύξαντι
dug mullets having two for or three for-one-having-dug
πόδας καὶ καθέντι τριόδοντα εἰς ὕδωρ ἰλυῶδες ἔστι
feet and having-let-down trident into water muddy it-is-possible
περιπεῖραι τὸν ἰχθὺν ἀξιόλογον τὸ μέγεθος· τρέφεται
to-pierce the fish considerable in-the size it-is-fed
δὲ ἀπὸ τῆς ἰλύος καθάπερ αἱ ἐγχέλυες. οὗτοι μὲν ἐκ
and from the mud as the eels these indeed from
τῆς Πυρήνης ῥέουσιν οἱ ποταμοὶ μεταξὺ Νάρβωνος καὶ
the Pyrene flow the rivers between Narbo and
τοῦ Ἀφροδισίου. ἐπὶ θάτερα μέρη τῆς Νάρβωνος ἐκ τοῦ
the Aphrodisium to the-other parts — of-Narbo from the
Κεμμένου φέρονται πρὸς τὴν θάλατταν, ἐξ οὗπερ καὶ ὁ
Cemmenus are-borne to the sea from which-very also the
Ἄταξ ὅ τε Ὄρβις καὶ ὁ Ἄραυρις. τούτων ἐφ' οὗ μὲν
Atax the both Orbis and the Arauris of-these on which indeed
Βαίτερρα πόλις ἀσφαλὴς ἵδρυται πλησίον τῆς Νάρβωνος,
Baeterrae city safe is-set near — Narbo
ἐφ' οὗ δὲ Ἀγάθη κτίσμα Μασσαλιωτῶν.
on which but Agathe foundation of-Massaliotes
ἓν μὲν οὖν ἔχει παράδοξον ἡ προειρημένη παραλία 7
one indeed then has paradoxical-thing the aforesaid coast
τὸ περὶ τοὺς ὀρυκτοὺς ἰχθῦς, ἕτερον δὲ μεῖζον τούτου
the about the dug fishes another but greater than-this
σχεδόν τι τὸ λεχθησόμενον. μεταξὺ γὰρ τῆς
nearly somewhat the-thing going-to-be-told between for —
Μασσαλίας καὶ τῶν ἐκβολῶν τοῦ Ῥοδανοῦ πεδίον ἐστὶ
Massalia and the mouths of-the Rhodanus plain is
τῆς θαλάττης διέχον εἰς ἑκατὸν σταδίους, τοσοῦτον
from-the sea distant as-much-as a-hundred stades so-much

δὲ καὶ τὴν διάμετρον, κυκλοτερὲς τὸ σχῆμα· καλεῖται δὲ
and also the diameter circular the shape is-called and
Λιθῶδες ἀπὸ τοῦ συμβεβηκότος. μεστὸν γάρ ἐστι λίθων
Stony from the circumstance full for it-is of-stones
χειροπληθῶν ὑποπεφυκυῖαν ἐχόντων αὐτοῖς ἄγρωστιν, ἀφ᾽
hand-filling growing-under having to-them dog's-tooth-grass from
ἧς ἄφθονοι νομαὶ βοσκήμασίν εἰσιν· ἐν μέσῳ δ᾽ ὕδατα
which abundant pastures for-cattle are in middle and waters
καὶ ἁλυκίδες συνίστανται καὶ ἅλες. ἅπασα μὲν οὖν καὶ
and salt-pools form and salts all indeed then also
ἡ ὑπερκειμένη χώρα προσήνεμός ἐστι, διαφερόντως δ᾽
the lying-above country windy is especially but
εἰς τὸ πεδίον τοῦτο τὸ μελαμβόρειον καταιγίζει πνεῦμα
into the plain this the black-northern swoops wind
βίαιον καὶ φρικῶδες· φασὶ γοῦν σύρεσθαι καὶ κυλινδεῖσθαι
violent and chilling they-say at-least to-be-dragged and to-be-rolled
τῶν λίθων ἐνίους, καταφλᾶσθαι δὲ τοὺς ἀνθρώπους ἀπὸ
of-the stones some to-be-crushed and the men from
τῶν ὀχημάτων καὶ γυμνοῦσθαι καὶ ὅπλων καὶ ἐσθῆτος
the vehicles and to-be-stripped both of-arms and of-clothing
ὑπὸ τῆς ἐμπνοῆς. Ἀριστοτέλης μὲν οὖν φησιν ὑπὸ
by the blast Aristotle indeed then says by
σεισμῶν τῶν καλουμένων βραστῶν ἐκπεσόντας τοὺς
earthquakes those called brastae having-been-thrown-out the
λίθους εἰς τὴν ἐπιφάνειαν συνολισθεῖν εἰς τὰ κοῖλα τῶν
stones to the surface to-have-slid-together into the hollows of-the
χωρίων. Ποσειδώνιος δὲ λίμνην οὖσαν παγῆναι μετὰ
places Posidonius but lake being to-have-been-solidified with
κλυδασμοῦ, καὶ διὰ τοῦτο εἰς πλείονας μερισθῆναι
surging and because-of this into several to-have-been-divided
λίθους, καθάπερ τοὺς ποταμίους κάχληκας καὶ τὰς ψήφους
stones as the river pebbles and the stones

τὰς αἰγιαλίτιδας, ὁμοίους δὲ καὶ λείους καὶ ἰσομεγέθεις
those of-the-beach similar and also smooth and of-equal-size
τῇ ὁμοιότητι· καὶ τὴν αἰτίαν ἀποδεδώκασιν ἀμφότεροι.
by-the similarity also the cause have-rendered both
πιθανὸς μὲν οὖν ὁ παρ' ἀμφοῖν λόγος· ἀνάγκη γὰρ τοὺς
persuasive indeed then the from both account necessity for the
οὕτω συνεστῶτας λίθους οὐ καθ' ἑαυτοὺς ἢ ἐξ ὑγροῦ
so composed stones not by themselves or from liquid
παγέντας μεταβαλεῖν, ἐκ πετρῶν μεγάλων ῥήγματα
having-solidified to-have-changed from rocks great breaks
συνεχῆ λαβουσῶν ἀποκριθῆναι. τὸ μέντοι δυσαπολόγητον
continuous having-received to-have-been-separated the however hard-to-explain
Αἰσχύλος καταμαθὼν ἢ παρ' ἄλλου λαβὼν εἰς μῦθον
Aeschylus having-learned or from another having-received into myth
ἐξετόπισε. φησὶ γοῦν Προμηθεὺς παρ' αὐτῷ καθηγούμενος
transferred says at-least Prometheus in him guiding
Ἡρακλεῖ τῶν ὁδῶν τῶν ἀπὸ Καυκάσου πρὸς τὰς
to-Heracles of-the roads those from Caucasus to the
Ἑσπερίδας "ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατόν,
Hesperides you-will-come and of-Ligurians to fearless army
ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢν μέμψει·
where not of-battle clearly I-know even impetuous though being you-will-find-fault
πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθ'· ἑλέσθαι δ'
it-is-fated for you also missiles to-fail there to-take but
οὔ τιν' ἐκ γαίας λίθον ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι
not any from earth stone you-will-be-able since all place is
μαλθακός. ἰδὼν δ' ἀμηχανοῦντά σε Ζεὺς οἰκτερεῖ, νεφέλην
soft seeing but at-a-loss you Zeus will-pity cloud
δ' ὑποσχὼν νιφάδι γογγύλων πέτρων ὑπόσκιον θήσει
and holding-under with-snow of-round stones shaded will-make
χθόν', οἷς ἔπειτα σὺ βαλὼν διώσει ῥᾳδίως Λίγυν
earth with-which then you striking will-drive-through easily Ligurian

στρατόν." ὥσπερ οὐ κρεῖττον ὄν, φησὶν ὁ Ποσειδώνιος, εἰς
army as-if not better being says — Posidonius at
αὐτοὺς τοὺς Λίγυας ἐμβαλεῖν τοὺς λίθους καὶ καταχῶσαι
themselves the Ligurians to-throw the stones and to-bury
πάντας ἢ τοσούτων δεόμενον ποιῆσαι λίθων τὸν
all than so-many needing to-make of-stones —
Ἡρακλέα. τὸ μὲν οὖν τοσούτων ἀναγκαῖον ἦν, εἴπερ καὶ
Heracles the indeed then so-many necessary was if-indeed also
πρὸς ὄχλον παμπληθῆ· ὥστε ταύτῃ γε πιθανώτερος ὁ
against crowd very-numerous so-that in-this-way at-least more-persuasive the
μυθογράφος τοῦ ἀνασκευάζοντος τὸν μῦθον. ἀλλὰ καὶ τὰ
mythographer than-the one-refuting the myth but also the
ἄλλα πεπρῶσθαι φήσας ὁ ποιητὴς οὐκ ἐᾷ μέμφεσθαι
other-things to-have-been-fated having-said the poet not allows to-find-fault
φιλαιτίως. καὶ γὰρ ἐν τοῖς περὶ τῆς προνοίας καὶ τῆς
captiously and for in the about the providence and the
εἱμαρμένης λόγοις εὕροι τις ἂν πολλὰ τοιαῦτα τῶν
fate discussions would-find anyone — many such-things of-the
ἀνθρωπίνων καὶ τῶν φύσει γινομένων, ὥστ' ἐπ'
human-things and the-things by-nature happening so-that in-regard-to
αὐτῶν φάναι πολὺ κρεῖττον εἶναι τόδε ἢ τόδε γενέσθαι,
them to-say much better to-be this than this to-happen
οἷον εὔομβρον εἶναι τὴν Αἴγυπτον, ἀλλὰ μὴ τὴν Αἰθιοπίαν
as rainy to-be — Egypt but not — Ethiopia
ποτίζειν τὴν γῆν· καὶ τὸν Πάριν εἰς Σπάρτην πλέοντα
to-water the land and — Paris to Sparta sailing
ναυαγίῳ περιπεσεῖν, ἀλλὰ μὴ τὴν Ἑλένην ἁρπάσαντα δίκας
in-shipwreck to-fall-into but not — Helen having-carried-off penalty
τῖσαι τοῖς ἀδικηθεῖσιν ὕστερον, ἡνίκα τοσοῦτον ἀπείργαστο
to-pay to-the wronged later when so-great he-had-wrought
φθόρον Ἑλλήνων καὶ βαρβάρων· ὅπερ Εὐριπίδης
destruction of-Greeks and barbarians which-very Euripides

ἀνήνεγκεν εἰς τὸν Δία "Ζεὺς γὰρ κακὸν μὲν Τρωσὶ πῆμα
referred to — Zeus Zeus for evil indeed for-Trojans woe
δ' Ἑλλάδι θέλων γενέσθαι ταῦτ' ἐβούλευσεν πατήρ."
and for-Hellas wishing to-become these-things planned father
περὶ δὲ τῶν τοῦ Ῥοδανοῦ στομάτων Πολύβιος μὲν ἐπιτιμᾷ 8
about and the of-the Rhodanus mouths Polybius indeed rebukes
Τιμαίῳ φήσας εἶναι μὴ πεντάστομον ἀλλὰ δίστομον·
Timaeus having-said to-be not five-mouthed but two-mouthed
Ἀρτεμίδωρος δὲ τρίστομον λέγει. Μάριος δὲ ὕστερον
Artemidorus but three-mouthed says Marius and later
ὁρῶν τυφλόστομον γινόμενον ἐκ τῆς προσχώσεως καὶ
seeing blind-mouthed becoming from the silting and
δυσείσβολον καινὴν ἔτεμε διώρυχα, καὶ ταύτῃ δεξάμενος
hard-to-enter new cut canal and in-this-way having-received
τὸ πλέον τοῦ ποταμοῦ Μασσαλιώταις ἔδωκεν ἀριστεῖον
the most of-the river to-Massaliotes he-gave as-prize-of-valor
κατὰ τὸν πρὸς Ἄμβρωνας καὶ Τωυγενοὺς πόλεμον· ἐξ
in the against Ambrones and Toygeni war from
οὗ πλοῦτον ἠνέγκαντο πολύν, τέλη πραττόμενοι τοὺς
which wealth they-carried-off much tolls exacting those
ἀναπλέοντας καὶ τοὺς καταγομένους· ὅμως οὖν ἔτι μένει
sailing-up and those sailing-down nevertheless then still remain
δυσείσπλοα διά τε τὴν λαβρότητα καὶ τὴν πρόσχωσιν
hard-to-sail-into because-of both the violence and the silting
καὶ τὴν ταπεινότητα τῆς χώρας, ὥστε μὴ καθορᾶσθαι
and the lowness of-the country so-that not to-be-seen-from-above
μηδ' ἐγγὺς ἐν ταῖς δυσαερίαις. διόπερ οἱ Μασσαλιῶται
not-even near in the foggy-weather wherefore the Massaliotes
πύργους ἀνέστησαν σημεῖα, ἐξοικειούμενοι πάντα τρόπον
towers set-up as-signs making-their-own every way
τὴν χώραν· καὶ δὴ καὶ τῆς Ἐφεσίας Ἀρτέμιδος κἀνταῦθα
the country and indeed also of-the Ephesian Artemis also-here

ἱδρύσαντο ἱερόν, χωρίον ἀπολαβόντες ὃ ποιεῖ νῆσον τὰ
set-up temple place having-cut-off which make island the
στόματα τοῦ ποταμοῦ. ὑπέρκειται δὲ τῶν ἐκβολῶν τοῦ
mouths of-the river lies-above and the mouths of-the
Ῥοδανοῦ λιμνοθάλαττα, καλοῦσι δὲ στομαλίμνην, ὀστράκια
Rhodanus lagoon they-call and Stomalimne shellfish
δ' ἔχει πάμπολλα καὶ ἄλλως εὐοψεῖ. ταύτην δ' ἔνιοι
and it-has very-many and otherwise abounds-in-fish this and some
συγκατηρίθμησαν τοῖς στόμασι τοῦ Ῥοδανοῦ, καὶ μάλιστα
counted-together with-the mouths of-the Rhodanus and especially
οἱ φήσαντες ἑπτάστομον αὐτόν, οὔτε τοῦτ' εὖ λέγοντες
those having-said seven-mouthed it neither this well saying
οὔτ' ἐκεῖνο· ὄρος γάρ ἐστι μεταξὺ τὸ διεῖργον ἀπὸ
nor that mountain for is between the(-one) separating from
τοῦ ποταμοῦ τὴν λίμνην. ἡ μὲν οὖν ἀπὸ τῆς Πυρήνης
the river the lake the indeed then from the Pyrene
ἐπὶ Μασσαλίαν παραλία τοιαύτη καὶ τοσαύτη τις.
to Massalia coast such and so-great somewhat
9 ἡ δ' ἐπὶ τὸν Οὐᾶρον ποταμὸν καὶ τοὺς ταύτῃ Δίγυας τάς
the and to the Varus river and the here Ligurians the
τε τῶν Μασσαλιωτῶν ἔχει πόλεις Ταυροέντιον καὶ Ὀλβίαν
both of-the Massaliotes has cities Tauroentium and Olbia
καὶ Ἀντίπολιν καὶ Νίκαιαν καὶ τὸ ναύσταθμον τὸ Καίσαρος
and Antipolis and Nicaea and the naval-station the of-Caesar
τοῦ Σεβαστοῦ, ὃ καλοῦσι Φόρον Ἰούλιον. ἵδρυται δὲ τοῦτο
— Augustus which they-call Forum Julium is-set and this
μεταξὺ τῆς Ὀλβίας καὶ τῆς Ἀντιπόλεως, διέχον Μασσαλίας
between — Olbia and — Antipolis distant from-Massalia
εἰς ἑξακοσίους σταδίους. ὁ δὲ Οὐᾶρος μέσος ἐστὶ τῆς
as-much-as six-hundred stades the and Varus between is —
Ἀντιπόλεως καὶ Νικαίας, τῆς μὲν ὅσον εἴκοσι
Antipolis and Nicaea from-the(-one) indeed as-much-as twenty

τῆς δὲ ἑξήκοντα σταδίους διέχων· ὥσθ' ἡ Νίκαια
from-the(-other) but sixty stades distant so-that — Nicaea
τῆς Ἰταλίας γίνεται κατὰ τὸν νῦν ἀποδεδειγμένον ὅρον
— of-Italy becomes according-to the now declared boundary
καίπερ οὖσα Μασσαλιωτῶν· ἐπετείχισαν γὰρ τὰ κτίσματα
although being of-Massaliotes they-fortified for the foundations
ταῦτα τοῖς ὑπερκειμένοις βαρβάροις οἱ Μασσαλιῶται
these against-the lying-above barbarians the Massaliotes
τήν γε θάλατταν ἐλευθέραν ἔχειν βουλόμενοι, τῆς χώρας
the at-least sea free to-have wishing the country
ὑπ' ἐκείνων κρατουμένης· ὀρεινὴ γάρ ἐστι καὶ ἐρυμνή,
by them being-held mountainous for it-is and fortified
πρὸς μὲν τῇ Μασσαλίᾳ πλάτος τι μέτριον καταλείπουσα
near indeed — Massalia breadth some moderate leaving
τῶν ἐπιπέδων χωρίων, προϊόντι δὲ ἐπὶ τὴν ἕω
of-the level places for-one-advancing but to the east
παντάπασιν ἀποθλίβουσα πρὸς τὴν θάλατταν καὶ μόλις
altogether squeezing-off to the sea and hardly
αὐτὴν πορεύσιμον ἐῶσα τὴν ὁδόν. κατέχουσι δὲ τὰ
itself passable allowing the road hold and the(-parts)
μὲν πρῶτα Σάλυες, τὰ δὲ τελευταῖα πρὸς τὴν Ἰταλίαν
indeed first Salyes the(-parts) but last toward — Italy
συνάπτοντες Λίγυες, περὶ ὧν λεχθήσεται μετὰ ταῦτα. νυνὶ
joining Ligurians about whom it-will-be-told after these-things now
δὲ τοσοῦτον προσθετέον ὅτι τῆς μὲν Ἀντιπόλεως ἐν τοῖς
but so-much one-must-add that — indeed Antipolis in the
τῆς Ναρβωνίτιδος μέρεσι κειμένης, τῆς δὲ Νικαίας ἐν τοῖς
— of-Narbonitis parts lying — but Nicaea in those
τῆς Ἰταλίας, ἡ μὲν Νίκαια ὑπὸ τοῖς Μασσαλιώταις μένει
— of-Italy — indeed Nicaea under the Massaliotes remains
καὶ τῆς ἐπαρχίας ἐστίν, ἡ δ' Ἀντίπολις τῶν Ἰταλιωτίδων
and of-the province is — but Antipolis among-the Italiote-cities

ἐξετάζεται, κριθεῖσα πρὸς τοὺς Μασσαλιώτας καὶ
is-reckoned having-been-judged against the Massaliotes and
ἐλευθερωθεῖσα τῶν παρ᾽ ἐκείνων προσταγμάτων.
having-been-freed from-the from them orders
πρόκεινται δὲ τῶν στενῶν τούτων ἀπὸ Μασσαλίας
lie-before and the narrows these from Massalia
ἀρξαμένοις αἱ Στοιχάδες νῆσοι, τρεῖς μὲν ἀξιόλογοι δύο
for-those-beginning the Stoechades islands three indeed considerable two
δὲ μικραί· γεωργοῦσι δ᾽ αὐτὰς Μασσαλιῶται. τὸ δὲ
but small farm and them Massaliotes the and
παλαιὸν καὶ φρουρὰν εἶχον ἱδρυμένην αὐτόθι πρὸς τὰς
in-old-times also garrison they-had established there against the
τῶν λῃστηρίων ἐφόδους, εὐποροῦντες καὶ λιμένων. μετὰ δὲ
of-the pirate-bands attacks being-well-supplied also with-harbors after and
τὰς Στοιχάδας ἡ Πλανασία καὶ Λήρων ἔχουσαι κατοικίας.
the Stoechades — Planasia and Lero having settlements
ἐν δὲ τῇ Λήρωνι καὶ ἡρῷόν ἐστι τὸ τοῦ Λήρωνος· κεῖται
in and — Lero also hero-shrine is the — of-Lero lies
δ᾽ αὕτη πρὸ τῆς Ἀντιπόλεως. ἄλλα δ᾽ ἐστὶ νησίδια
and this before — Antipolis other and are islets
οὐκ ἄξια μνήμης, τὰ μὲν πρὸ τῆς Μασσαλίας αὐτῆς
not worthy of-mention the(-ones) indeed before — Massalia itself
τὰ δὲ πρὸ τῆς ἄλλης τῆς λεχθείσης ᾐόνος. τῶν δὲ
the(-others) but before the other the said shore of-the and
λιμένων ὁ μὲν κατὰ τὸν ναύσταθμον ἀξιόλογος καὶ ὁ
harbors the indeed at the naval-station considerable and the
τῶν Μασσαλιωτῶν, οἱ δ᾽ ἄλλοι μέτριοι· τούτων δ᾽ ἐστὶ
of-the Massaliotes the but others moderate of-these and is
καὶ ὁ Ὀξύβιος καλούμενος λιμήν, ἐπώνυμος τῶν Ὀξυβίων
also the Oxybius called harbor named-after the Oxybian
Λιγύων. περὶ μὲν τῆς παραλίας ταῦτα λέγομεν.
Ligurians about indeed the coast these-things we-say

τὴν δ' ὑπερκειμένην αὐτῆς χώραν μάλιστα γεωγραφεῖ τά 11
the and lying-above it country most-of-all describe the
τε ὄρη τὰ περικείμενα καὶ οἱ ποταμοί, διαφερόντως
both mountains the surrounding and the rivers especially
δὲ ὁ Ῥοδανὸς μέγιστός τε ὢν καὶ πλεῖστον ἀνάπλουν
and the Rhodanus greatest both being and most voyage-up
ἔχων ἐκ πολλῶν πληρούμενος ῥευμάτων· λεκτέον οὖν
having from many being-filled streams one-must-speak then
ἐφεξῆς περὶ τούτων. ἀπὸ Μασσαλίας τοίνυν ἀρξαμένοις
next about these from Massalia then for-those-beginning
καὶ προϊοῦσιν ἐπὶ τὴν μεταξὺ χώραν τῶν τε Ἄλπεων καὶ
and advancing to the between country of-the both Alps and
τοῦ Ῥοδανοῦ μέχρι μὲν τοῦ Δρουεντία ποταμοῦ Σάλυες
the Rhodanus as-far-as indeed the Druentia river Salyes
οἰκοῦσιν ἐπὶ πεντακοσίους σταδίους· πορθμείῳ δὲ διαβᾶσιν
dwell for five-hundred stades by-ferry and for-those-crossing
εἰς Καβαλλίωνα πόλιν ἡ ἐφεξῆς χώρα πᾶσα Καουάρων
to Caballio city the next country all of-Cavari
ἐστὶ μέχρι τῶν τοῦ Ἴσαρος συμβολῶν πρὸς τὸν Ῥοδανόν·
is as-far-as the of-the Isar confluences with the Rhodanus
ἐνταῦθα δὲ καὶ τὸ Κέμμενον συνάπτει πως τῷ Ῥοδανῷ·
here and also the Cemmenus joins somehow with-the Rhodanus
μῆκος τὸ μέχρι δεῦρο ἀπὸ τοῦ Δρουεντία σταδίων ἐστὶν
length the as-far-as here from the Druentia of-stades is
ἑπτακοσίων. οἱ μὲν οὖν Σάλυες ἐν αὐτοῖς τά τε πεδία
seven-hundred the indeed then Salyes in themselves the both plains
καὶ τὰ ὑπερκείμενα ὄρη κατοικοῦσι, τῶν δὲ Καουάρων
and the lying-above mountains inhabit of-the and Cavari
ὑπέρκεινται Οὐοκόντιοί τε καὶ Τρικόριοι καὶ Ἰκόνιοι καὶ
lie-above Vocontii both and Tricorii and Iconii and
Μέδυλλοι. μεταξὺ δὲ τοῦ Δρουεντία καὶ τοῦ Ἴσαρος καὶ
Medulli between and the Druentia and the Isar also

ἄλλοι ποταμοὶ ῥέουσιν ἀπὸ τῶν Ἄλπεων ἐπὶ τὸν Ῥοδανόν,
other rivers flow from the Alps to the Rhodanus
δύο μὲν οἱ περιρρέοντες πόλιν Καουάρων κοινῷ ῥείθρῳ
two indeed those flowing-around city of-Cavari in-common channel
συμβάλλοντες εἰς τὸν Ῥοδανόν, τρίτος δὲ Σούλγας ὁ
emptying into the Rhodanus third and Sulgas the(-one)
κατὰ Οὔνδαλον πόλιν μισγόμενος τῷ Ῥοδανῷ, ὅπου
at Undalum city mingling with-the Rhodanus where
Γναῖος Ἀηνόβαρβος μεγάλῃ μάχῃ πολλὰς ἐτρέψατο Κελτῶν
Gnaeus Abenobarbus in-great battle many routed of-Celts
μυριάδας. εἰσὶ δὲ ἐν τῷ μεταξὺ πόλεις καὶ Αὐενιὼν καὶ
myriads are and in the between cities both Avennio and
Ἀραυσίων καὶ Ἀερία, τῷ ὄντι (φησὶν Ἀρτεμίδωρος) ἀερία
Arausio and Aeria in-the reality says Artemidorus airy
διὰ τὸ ἐφ' ὕψους ἱδρῦσθαι μεγάλου. ἡ μὲν οὖν ἄλλη
because-of the on height to-be-set great the indeed then other
πᾶσά ἐστι πεδιὰς καὶ εὔβοτος, ἡ δ' ἐκ τῆς Ἀερίας εἰς
all is plain and good-for-pasture the but from — Aeria to
τὴν Αὐενιῶνα ὑπερθέσεις ἔχει στενὰς καὶ ὑλώδεις. καθ' ὃ
— Avennio passes has narrow and wooded at which
δὲ συμπίπτουσιν ὁ Ἴσαρ ποταμὸς καὶ ὁ Ῥοδανὸς καὶ τὸ
and meet the Isar river and the Rhodanus and the
Κέμμενον ὄρος, Κόιντος Φάβιος Μάξιμος Αἰμιλιανὸς οὐχ
Cemmenus mountain Quintus Fabius Maximus Aemilianus not
ὅλαις τρισὶ μυριάσιν εἴκοσι μυριάδας Κελτῶν κατέκοψε,
whole three with-myriads twenty myriads of-Celts cut-down
καὶ ἔστησε τρόπαιον αὐτόθι λευκοῦ λίθου καὶ νεὼς δύο,
and set-up trophy there of-white stone and temples two
τὸν μὲν Ἄρεως τὸν δ' Ἡρακλέους. ἀπὸ δὲ τοῦ
the(-one) indeed of-Ares the(-other) but of-Heracles from and the
Ἴσαρος εἰς Οὐίενναν τὴν τῶν Ἀλλοβρίγων μητρόπολιν
Isar to Vienna the of-the Allobroges mother-city

κειμένην ἐπὶ τῷ Ῥοδανῷ στάδιοί εἰσι τριακόσιοι εἴκοσι.
lying on the Rhodanus stades are three-hundred twenty
πλησίον δ' ὑπέρκειται τῆς Οὐιέννης τὸ Λούγδουνον, ἐφ'
near and lies-above — Vienna — Lugdunum at
οὗ συμμίσγουσιν ἀλλήλοις ὅ τε Ἄραρ καὶ ὁ Ῥοδανός·
which mingle with-one-another the both Arar and the Rhodanus
στάδιοι δ' εἰσὶν ἐπ' αὐτὸ πεζῇ μὲν περὶ διακοσίους διὰ
stades and are to it on-foot indeed about two-hundred through
τῆς Ἀλλοβρίγων, ἀνάπλῳ δὲ μικρῷ πλείους. Ἀλλόβριγες
the(-land) of-Allobroges by-voyage-up but a-little more Allobroges
δὲ μυριάσι πολλαῖς πρότερον μὲν ἐστράτευον, νῦν δὲ
and with-myriads many formerly indeed campaigned now but
γεωργοῦσι τὰ πεδία καὶ τοὺς αὐλῶνας τοὺς ἐν ταῖς
farm the plains and the valleys those in the
Ἄλπεσι· καὶ οἱ μὲν ἄλλοι κωμηδὸν ζῶσιν, οἱ
Alps and the(-ones) indeed others village-by-village live the(-ones)
δ' ἐπιφανέστατοι τὴν Οὐίενναν ἔχοντες, κώμην πρότερον
but most-notable — Vienna holding village formerly
οὖσαν μητρόπολιν δ' ὅμως τοῦ ἔθνους λεγομένην,
being mother-city but nevertheless of-the nation called
κατεσκευάκασι πόλιν· ἵδρυται δ' ἐπὶ τῷ Ῥοδανῷ. φέρεται
have-made city it-is-set and on the Rhodanus is-borne
δ' ἀπὸ τῶν Ἄλπεων οὗτος πολὺς καὶ σφοδρός, ὅς γε
and from the Alps this much and vehement which indeed
καὶ διὰ λίμνης ἐξιὼν τῆς Λημέννης φανερὸν δείκνυσι τὸ
also through lake going-out the Lemenna visible shows the
ῥεῖθρον ἐπὶ πολλοὺς σταδίους. κατελθὼν δὲ εἰς τὰ πεδία
stream for many stades having-come-down and into the plains
τῆς χώρας τῆς Ἀλλοβρίγων καὶ Σεγοσιανῶν συμβάλλει
of-the country of-the Allobroges and Segusiavi joins
τῷ Ἄραρι κατὰ Λούγδουνον πόλιν τῶν Σεγοσιανῶν.
with-the Arar at Lugdunum city of-the Segusiavi

ῥεῖ δὲ καὶ ὁ Ἄραρ ἐκ τῶν Ἄλπεων ὁρίζων Σηκοανούς
flows and also the Arar from the Alps bounding Sequani
τε καὶ Αἰδούους καὶ Λιγκασίους, παραλαβὼν δ' ὕστερον
both and Aedui and Lincasii having-taken-in but later
τὸν Δοῦβιν ἐκ τῶν αὐτῶν ὀρῶν φερόμενον πλωτόν,
the Dubis from the same mountains borne navigable
ἐπικρατήσας τῷ ὀνόματι καὶ γενόμενος ἐξ ἀμφοῖν Ἄραρ
having-prevailed in-the name and having-become from both Arar
συμμίσγει τῷ Ῥοδανῷ. πάλιν δ' ἐπικρατήσας ὁ Ῥοδανὸς
mingles with-the Rhodanus again and having-prevailed the Rhodanus
εἰς τὴν Οὐίενναν φέρεται. συμβαίνει δὴ κατ' ἀρχὰς μὲν
to — Vienna is-borne it-happens indeed at beginnings indeed
τοὺς τρεῖς ποταμοὺς φέρεσθαι πρὸς ἄρκτον, εἶτα πρὸς
the three rivers to-be-borne toward north then toward
δύσιν· εἰς ἓν δ' ἤδη συμπεσὸν ῥεῖθρον πάλιν ἄλλην
west into one and now having-fallen-together channel again another
καμπὴν λαβὸν νότιον φέρεται τὸ ῥεῦμα μέχρι τῶν
bend having-taken southward is-borne the stream as-far-as the
ἐκβολῶν, δεξάμενον καὶ τοὺς ἄλλους ποταμούς, κἀκεῖθεν
mouths having-received also the other rivers and-from-there
ἤδη τὴν λοιπὴν ποιεῖται μέχρι τῆς θαλάττης ῥύσιν. ἡ μὲν
now the remaining makes as-far-as the sea flow the indeed
οὖν μεταξὺ τῶν Ἄλπεων καὶ τοῦ Ῥοδανοῦ τοιαύτη τις.
then between the Alps and the Rhodanus such somewhat

Beyond the Rhodanus live the Volcae Arecomisci, with Narbo as their port; across the river the name of the Cavari now covers barbarians so Romanized in speech and life that they are barbarians no longer. The Arecomisci's metropolis Nemausus holds twenty-four villages and the Latin right. The Tectosages, near the Pyrene and rich in gold, are said to have sent out the Galatians of Phrygia. Strabo doubts that the treasure Caepio found at Tolosa came from Delphi, preferring Posidonius' account of gold and silver laid up in sacred lakes, which the Romans later sold. Tolosa stands on the narrowest part of the isthmus between the two seas, and the rivers and roads that link the ocean with the inner sea are traced; the people of the Narbonitis the earlier writers called Celtae.

τὴν δ' ἐπὶ θάτερα μέρη τοῦ ποταμοῦ Οὐόλκαι νέμονται 12
the and on the-other parts of-the river Volcae inhabit
τὴν πλείστην, οὓς Ἀρηκομίσκους προσαγορεύουσι. τούτων
the most whom Arecomisci they-call of-these
δ' ἐπίνειον ἡ Νάρβων λέγεται, δικαιότερον δ' ἂν καὶ
and port — Narbo is-said more-justly but — also
τῆς ἄλλης Κελτικῆς λέγοιτο· τοσοῦτον ὑπερβέβληται
of-the other Celtica it-might-be-called so-much has-surpassed
τῷ πλήθει τῶν χρωμένων τῷ ἐμπορίῳ. οἱ μὲν οὖν
in-the number of-those using the emporium the indeed then
Οὐόλκαι γειτονεύουσι τῷ Ῥοδανῷ, τοὺς Σάλυας ἔχοντες
Volcae neighbor the Rhodanus the Salyes having
ἀντιπαρήκοντας αὐτοῖς ἐν τῇ περαίᾳ καὶ τοὺς Καουάρους.
stretching-opposite them on the opposite-bank and the Cavari
ἐπικρατεῖ δὲ τὸ τῶν Καουάρων ὄνομα, καὶ πάντας
prevails and the of-the Cavari name and all
οὕτως ἤδη προσαγορεύουσι τοὺς ταύτῃ βαρβάρους, οὐδὲ
so already they-call the here barbarians not-even
βαρβάρους ἔτι ὄντας, ἀλλὰ μετακειμένους τὸ πλέον εἰς
barbarians still being but having-changed the more to

τὸν τῶν Ῥωμαίων τύπον καὶ τῇ γλώττῃ καὶ τοῖς βίοις,
the of-the Romans type both in-the tongue and in-the lives
τινὰς δὲ καὶ τῇ πολιτείᾳ. ἄλλα δ' ἔστιν ἄδοξα ἔθνη
some and also in-the constitution other and are obscure nations
καὶ μικρά, παρακείμενα τοῖς Ἀρηκομίσκοις μέχρι Πυρήνης.
and small lying-beside the Arecomisci as-far-as Pyrene
μητρόπολις δὲ τῶν Ἀρηκομίσκων ἐστὶ Νέμαυσος, κατὰ μὲν
mother-city and of-the Arecomisci is Nemausus in indeed
τὸν ἀλλότριον ὄχλον καὶ τὸν ἐμπορικὸν πολὺ Νάρβωνος
the foreign crowd and the mercantile much than-Narbo
λειπομένη, κατὰ δὲ τὸν πολιτικὸν ὑπερβάλλουσα· ὑπηκόους
falling-short in but the civic surpassing subject
γὰρ ἔχει κώμας τέτταρας καὶ εἴκοσι τῶν ὁμοεθνῶν
for it-has villages four and twenty of-the same-nation
εὐανδρίᾳ διαφερούσας, συντελούσας εἰς αὐτήν, ἔχουσα καὶ
in-manpower excelling contributing to it having also
τὸ καλούμενον Λάτιον, ὥστε τοὺς ἀξιωθέντας ἀγορανομίας
the so-called Latin-right so-that those deemed-worthy of-aedileship
καὶ ταμιείας ἐν Νεμαύσῳ Ῥωμαίους ὑπάρχειν· διὰ δὲ
and quaestorship in Nemausus Romans to-be because-of and
τοῦτο οὐδ' ὑπὸ τοῖς προστάγμασι τῶν ἐκ τῆς Ῥώμης
this not-even under the orders of-the from — Rome
στρατηγῶν ἐστι τὸ ἔθνος τοῦτο. ἵδρυται δ' ἡ πόλις κατὰ
praetors is the nation this is-set and the city on
τὴν ὁδὸν τὴν ἐκ τῆς Ἰβηρίας εἰς τὴν Ἰταλίαν, θέρους
the road the from — Iberia to — Italy in-summer
μὲν εὔβατον οὖσαν χειμῶνος δὲ καὶ ἔαρος πηλώδη καὶ
indeed easy-to-travel being in-winter but and spring muddy and
ποταμόκλυστον. τινὰ μὲν οὖν τῶν ῥευμάτων πορθμείοις
river-flooded some indeed then of-the streams by-ferries
περᾶται, τινὰ δὲ γεφύραις ταῖς μὲν ξύλων πεποιημέναις
are-crossed some but by-bridges the(-ones) indeed of-wood made

ταῖς δὲ λίθων. ποιοῦσι δὲ τὰς ἐκ τῶν ὑδάτων δυσκολίας
the(-others) but of-stone make and the from the waters difficulties
οἱ χείμαρροι καὶ μέχρι τοῦ θέρους ἔσθ' ὅτε ἐκ τῶν
the torrents even until the summer there-are-times when from the
Ἄλπεων καταφερόμενοι μετὰ τὴν ἀπότηξιν τῶν χιόνων.
Alps borne-down after the melting of-the snows
τῆς δ' ὁδοῦ τῆς λεχθείσης ἡ μὲν εὐθὺς ἐπὶ τὰς Ἄλπεις
of-the and road the said the(-one) indeed straight to the Alps
ἐστί, καθάπερ εἴπομεν, ἡ σύντομος διὰ Οὐοκοντίων·
is as we-said the short-cut through Vocontii
ἡ δὲ διὰ τῆς παραλίας τῆς Μασσαλιωτικῆς καὶ τῆς
the(-other) but through the coast the Massaliotic and the
Λιγυστικῆς μακροτέρα μέν, τὰς δ' ὑπερθέσεις τὰς εἰς τὴν
Ligurian longer indeed the but passes the into —
Ἰταλίαν εὐμαρεστέρας ἔχει, ταπεινουμένων ἐνταῦθα ἤδη
Italy easier has being-lowered here already
τῶν ὀρῶν. διέχει δ' ἡ Νέμαυσος τοῦ μὲν Ῥοδανοῦ
the mountains is-distant and — Nemausus from-the indeed Rhodanus
περὶ ἑκατὸν σταδίους, καθ' ὃ ἐν τῇ περαίᾳ πολίχνιον
about a-hundred stades at which on the opposite-bank small-town
ἔστι Ταρούσκων, τῆς δὲ Νάρβωνος ἑπτακοσίους εἴκοσι.
is Tarusco — but from-Narbo seven-hundred twenty
πρὸς δὲ τὸ Κέμμενον ὄρος συνάπτοντες, ἐπιλαμβάνοντες
to and the Cemmenus mountain joining taking-in
δὲ καὶ τὸ νότιον πλευρὸν αὐτοῦ μέχρι τῶν ἀκρωτηρίων
and also the southern side of-it as-far-as the headlands
οἰκοῦσι τῶν τε Οὐολκῶν οἱ Τεκτόσαγες καλούμενοι καὶ
dwell of-the both Volcae those Tectosages called and
ἄλλοι τινές. περὶ μὲν οὖν τῶν ἄλλων ἐροῦμεν ὕστερον.
others some about indeed then the others we-shall-speak later

13 οἱ δὲ Τεκτόσαγες καλούμενοι τῇ Πυρήνῃ πλησιάζουσιν,
the and Tectosages called the Pyrene approach
ἐφάπτονται δὲ μικρὰ καὶ τοῦ προσαρκτίου πλευροῦ τῶν
they-touch and a-little also of-the northern side of-the
Κεμμένων, πολύχρυσόν τε νέμονται γῆν. ἐοίκασι δὲ καὶ
Cemmenus gold-rich and inhabit land they-seem and also
δυναστεῦσαί ποτε καὶ εὐανδρῆσαι τοσοῦτον ὥστε
to-have-been-powerful once and to-have-abounded-in-men so-much so-that
στάσεως ἐμπεσούσης ἐξελάσαι πολὺ πλῆθος ἐξ ἑαυτῶν
faction having-fallen-in to-have-driven-out great multitude from themselves
ἐκ τῆς οἰκείας· κοινωνῆσαι δὲ τούτοις καὶ ἄλλους ἐξ
from the homeland to-have-shared and with-these also others from
ἄλλων ἐθνῶν· τούτων δ' εἶναι καὶ τοὺς κατασχόντας τὴν
other nations of-these and to-be also those having-occupied —
Φρυγίαν τὴν ὅμορον τῇ Καππαδοκίᾳ καὶ τοῖς Παφλαγόσι·
Phrygia the bordering — on-Cappadocia and the Paphlagonians
τούτου μὲν οὖν ἔχομεν τεκμήριον τοὺς ἔτι καὶ νῦν
of-this indeed then we-have proof those still even now
λεγομένους Τεκτόσαγας. τριῶν γὰρ ὄντων ἐθνῶν, ἓν ἐξ
called Tectosages three for being nations one of
αὐτῶν τὸ περὶ Ἄγκυραν πόλιν Τεκτοσάγων λέγεται, τὰ δὲ
them the about Ancyra city of-Tectosages is-called the and
λοιπὰ δύο ἐστὶ Τρόκμοι καὶ Τολιστοβώγιοι· τούτους δ'
remaining two are Trocmi and Tolistobogii these and
ὅτι μὲν ἐκ τῆς Κελτικῆς ἀπῳκίσθησαν μηνύει τὸ πρὸς
that indeed from — Celtica they-emigrated shows the toward
τοὺς Τεκτόσαγας σύμφυλον, ἐξ ὧν δὲ χωρίων ὡρμήθησαν
the Tectosages kinship from what but places they-set-out
οὐκ ἔχομεν φράζειν· οὐ γὰρ παρειλήφαμεν οἰκοῦντάς
not we-are-able to-tell not for we-have-received dwelling
τινας νυνὶ Τρόκμους ἢ Τολιστοβωγίους ἐκτὸς τῶν Ἄλπεων
any now Trocmi or Tolistobogii outside the Alps

οὔτ᾽ ἐν αὐταῖς οὔτ᾽ ἐντός· εἰκὸς δ᾽ ἐκλελοιπέναι διὰ
neither in them nor inside likely and to-have-died-out because-of
τὰς ἀθρόας ἀπαναστάσεις, καθάπερ καὶ ἐπ᾽ ἄλλων
the wholesale migrations as also in-the-case-of others
συμβαίνει πλειόνων· ἐπεὶ καὶ τὸν ἄλλον Βρέννον τὸν
happens several since also the other Brennus the(-one)
ἐπελθόντα ἐπὶ Δελφοὺς Πραῦσον τινές φασιν· οὐδὲ τοὺς
having-attacked against Delphi Prausan some say not-even the
Πραύσους δ᾽ ἔχομεν εἰπεῖν ὅπου γῆς ᾤκησαν πρότερον.
Prausi and we-are-able to-say where of-earth they-dwelt formerly
καὶ τοὺς Τεκτόσαγας δέ φασι μετασχεῖν τῆς ἐπὶ
also the Tectosages and they-say to-have-taken-part of-the against
Δελφοὺς στρατείας, τούς τε θησαυροὺς τοὺς εὑρεθέντας
Delphi expedition the both treasures those found
παρ᾽ αὐτοῖς ὑπὸ Καιπίωνος τοῦ στρατηγοῦ τῶν Ῥωμαίων
among them by Caepio the general of-the Romans
ἐν πόλει Τολώσσῃ τῶν ἐκεῖθεν χρημάτων μέρος εἶναί φασι,
in city Tolosa of-the from-there valuables part to-be they-say
προσθεῖναι δὲ τοὺς ἀνθρώπους καὶ ἐκ τῶν ἰδίων οἴκων
to-have-added and the men also from the own houses
ἀνιεροῦντας καὶ ἐξιλασκομένους τὸν θεόν· προσαψάμενον
dedicating and propitiating the god having-laid-hands-on
δ᾽ αὐτῶν τὸν Καιπίωνα διὰ τοῦτο ἐν δυστυχήμασι
and them — Caepio because-of this in misfortunes
καταστρέψαι τὸν βίον, ὡς ἱερόσυλον ἐκβληθέντα ὑπὸ
to-have-ended the life as temple-robber cast-out by
τῆς πατρίδος, διαδόχους δ᾽ ἀπολιπόντα παῖδας, ἃς
the fatherland heirs and having-left daughters who
συνέβη καταπορνευθείσας, ὡς εἴρηκε Τιμαγένης, αἰσχρῶς
it-happened having-been-prostituted as has-said Timagenes shamefully
ἀπολέσθαι. πιθανώτερος δ᾽ ἐστὶν ὁ Ποσειδωνίου λόγος·
to-have-perished more-persuasive but is the of-Posidonius account

τὰ μὲν γὰρ εὑρεθέντα ἐν τῇ Τολώσσῃ χρήματα μυρίων
the indeed for found in — Tolosa valuables of-ten-thousand
που καὶ πεντακισχιλίων ταλάντων γενέσθαι φησί, τὰ
about and of-five-thousand talents to-have-been he-says the(-ones)
μὲν ἐν σηκοῖς ἀποκείμενα τὰ δ' ἐν λίμναις
indeed in sacred-enclosures stored the(-others) but in lakes
ἱεραῖς, οὐδεμίαν κατασκευὴν ἔχοντα, ἀλλ' ἀργὸν χρυσίον
sacred no workmanship having but unwrought gold
καὶ ἄργυρον· τὸ δ' ἐν Δελφοῖς ἱερὸν κατ' ἐκείνους ἤδη
and silver the but in Delphi temple at those already
τοὺς χρόνους ὑπάρξαι κενὸν τῶν τοιούτων, σεσυλημένον
the times to-have-been empty of-the such-things having-been-plundered
ὑπὸ τῶν Φωκέων κατὰ τὸν ἱερὸν πόλεμον· εἰ δὲ καί
by the Phocians in the sacred war if and even
τι ἐλείφθη, διανείμασθαι πολλούς· οὐδὲ σωθῆναι δὲ
anything was-left to-have-divided many not-even to-have-been-saved and
αὐτοὺς εἰκὸς εἰς τὴν οἰκείαν, ἀθλίως ἀπαλλάξαντας μετὰ
they likely to the homeland wretchedly having-come-off after
τὴν ἐκ Δελφῶν ἀποχώρησιν καὶ σκεδασθέντας ἄλλους
the from Delphi retreat and having-been-scattered some
ἐπ' ἄλλα μέρη κατὰ διχοστασίαν. ἀλλ', ὥσπερ ἐκεῖνός
to other parts by dissension but as that-one
τε εἴρηκε καὶ ἄλλοι πλείους, ἡ χώρα πολύχρυσος οὖσα
both has-said and others several the country gold-rich being
καὶ δεισιδαιμόνων ἀνθρώπων καὶ οὐ πολυτελῶν τοῖς βίοις
and of-superstitious men and not extravagant in-the lives
πολλαχοῦ ἔσχε θησαυρούς· μάλιστα δ' αὐτοῖς αἱ λίμναι τὴν
in-many-places had treasures most and for-them the lakes the
ἀσυλίαν παρεῖχον, εἰς ἃς καθίεσαν ἀργύρου ἢ καὶ χρυσοῦ
inviolability provided into which they-let-down of-silver or also of-gold
βάρη. οἱ γοῦν Ῥωμαῖοι κρατήσαντες τῶν τόπων ἀπέδοντο
weights the at-least Romans having-mastered the places sold

τὰς λίμνας δημοσίᾳ καὶ τῶν ὠνησαμένων πολλοὶ μύλους
the lakes publicly and of-those having-bought many millstones
εὗρον σφυρηλάτους ἀργυροῦς. ἐν δὲ τῇ Τολώσσῃ καὶ τὸ
found hammered-out silver in and — Tolosa also the
ἱερὸν ἦν ἅγιον, τιμώμενον σφόδρα ὑπὸ τῶν περιοίκων, καὶ
temple was holy honored greatly by the neighbors and
τὰ χρήματα ἐπλεόνασε διὰ τοῦτο πολλῶν ἀνατιθέντων
the valuables abounded because-of this many dedicating
καὶ μηδενὸς προσάπτεσθαι θαρροῦντος.
and no-one to-lay-hands-on daring
ἵδρυται δ' ἡ Τολῶσσα κατὰ τὸ στενώτατον τοῦ ἰσθμοῦ 14
is-set and — Tolosa at the narrowest of-the isthmus
τοῦ διείργοντος ἀπὸ τῆς κατὰ Νάρβωνα θαλάττης τὸν
the(-one) separating from the at Narbo sea the
ὠκεανόν, ὅν φησι Ποσειδώνιος ἐλάττω τῶν τρισχιλίων
ocean which says Posidonius less than-the three-thousand
σταδίων. ἄξιον δ' ἀντὶ πάντων ἐπισημήνασθαι πάλιν
stades worthy and above all-things to-note again
ὅπερ εἴπομεν πρότερον, τὴν ὁμολογίαν τῆς χώρας πρός
which-very we-said before the correspondence of-the country with
τε τοὺς ποταμοὺς καὶ τὴν θάλατταν τήν τ' ἐκτὸς
both the rivers and the sea the both outer
ὁμοίως καὶ τὴν ἐντός· εὕροι γὰρ ἄν τις ἐπιστήσας
equally and the inner would-find for — anyone having-attended
οὐκ ἐλάχιστον μέρος τοῦθ' ὑπάρχον τῆς τῶν τόπων
not least part this being of-the of-the places
ἀρετῆς, λέγω δὲ τὸ τὰς χρείας ἐπιπλέκεσθαι τὰς τοῦ βίου
excellence I-mean and the the needs to-be-interwoven those of-the life
μετὰ ῥᾳστώνης ἅπασι πρὸς ἅπαντας καὶ τὰς ὠφελείας
with ease for-all with all and the benefits
ἀνεῖσθαι κοινάς, μάλιστα δὲ νῦν, ἡνίκα ἄγοντες σχολὴν
to-be-thrown-open common most and now when keeping leisure

ἀπὸ τῶν ὅπλων ἐργάζονται τὴν χώραν ἐπιμελῶς, καὶ τοὺς
from the arms they-work the country carefully and the
βίους κατασκευάζονται πολιτικούς· ὥστε ἐπὶ τῶν
lives they-make civic so-that in-the-case-of the
τοιούτων κἂν τὸ τῆς προνοίας ἔργον ἐπιμαρτυρεῖσθαί τις
such-things even the of-the providence work to-be-borne-witness anyone
ἂν δόξειεν, οὐχ ὅπως ἔτυχεν, ἀλλ᾽ ὡς ἂν μετὰ λογισμοῦ
— would-think not as it-happened but as — with reasoning
τινος διακειμένων τῶν τόπων. ὁ μέν γε Ῥοδανὸς πολύν
some lying the places the indeed at-least Rhodanus great
τε ἔχει τὸν ἀνάπλουν καὶ μεγάλοις φορτίοις καὶ ἐπὶ πολλὰ
both has the voyage-up even for-large cargoes and to many
μέρη τῆς χώρας διὰ τὸ τοὺς ἐμπίπτοντας εἰς αὐτὸν
parts of-the country because-of the the falling into it
ποταμοὺς ὑπάρχειν πλωτοὺς καὶ διαδέχεσθαι τὸν φόρτον
rivers to-be navigable and to-receive the freight
πλεῖστον. ὁ δ᾽ Ἄραρ ἐκδέχεται καὶ ὁ Δοῦβις ὁ εἰς
most the and Arar receives and the Dubis the(-one) into
τοῦτον ἐμβάλλων, εἶτα πεζεύεται μέχρι τοῦ Σηκοάνα
this emptying then it-is-carried-on-foot as-far-as the Sequanas
ποταμοῦ, κἀντεῦθεν ἤδη καταφέρεται εἰς τὸν ὠκεανὸν
river and-from-here already is-carried-down to the ocean
καὶ τοὺς Ληξοβίους καὶ Καλέτους, ἐκ δὲ τούτων εἰς τὴν
and the Lexobii and Caleti from and these to —
Βρεττανικὴν ἐλάττων ἢ ἡμερήσιος δρόμος ἐστίν. ἐπεὶ δ᾽
Britannica less than a-day's run is since and
ἐστὶν ὀξὺς καὶ δυσανάπλους ὁ Ῥοδανός, τινὰ τῶν ἐντεῦθεν
is swift and hard-to-sail-up the Rhodanus some of-the from-here
φορτίων πεζεύεται μᾶλλον ταῖς ἁρμαμάξαις, ὅσα εἰς
cargoes are-carried-on-foot rather by-the wagons as-many-as to
Ἀρουέρνους κομίζεται καὶ τὸν Λίγηρα ποταμόν, καίπερ
Arverni are-conveyed and the Liger river although

τοῦ Ῥοδανοῦ καὶ τούτοις πλησιάζοντος ἐκ μέρους· ἀλλ' ἡ
the Rhodanus also these approaching in part but the
ὁδὸς πεδιὰς οὖσα καὶ οὐ πολλὴ περὶ ὀκτακοσίους σταδίους
road level being and not long about eight-hundred stades
ἐπάγεται μὴ χρήσασθαι τῷ ἀνάπλῳ διὰ τὸ πεζεύεσθαι
induces not to-use the voyage-up because-of the to-be-carried-on-foot
ῥᾷον· ἐντεῦθεν δ' ὁ Λίγηρ εὐφυῶς ἐκδέχεται· ῥεῖ δὲ
more-easily from-here and the Liger conveniently receives flows and
ἐκ τῶν Κεμμένων εἰς τὸν ὠκεανόν. ἐκ δὲ Νάρβωνος
from the Cemmenus into the ocean from and Narbo
ἀναπλεῖται μὲν ἐπὶ μικρὸν τῷ Ἄτακι, πεζεύεται δὲ
is-sailed-up indeed for a-little-way by-the Atax is-carried-on-foot but
πλέον ἐπὶ τὸν Γαρούναν ποταμόν, καὶ τοῦθ' ὅσον
more to the Garumna river and this as-much-as
ὀκτακοσίων ἢ ἑπτακοσίων σταδίων· ῥεῖ δὲ καὶ ὁ Γαρούνας
of-eight-hundred or of-seven-hundred stades flows and also the Garumna
εἰς τὸν ὠκεανόν. ταῦτα μὲν ὑπὲρ τῶν νεμομένων τὴν
into the ocean these-things indeed about those inhabiting the
Ναρβωνῖτιν ἐπικράτειαν λέγομεν, οὓς οἱ πρότερον Κέλτας
Narbonitic dominion we-say whom the earlier-ones Celtae
ὠνόμαζον· ἀπὸ τούτων δ' οἶμαι καὶ τοὺς σύμπαντας
named from these and I-think also the all
Γαλάτας Κελτοὺς ὑπὸ τῶν Ἑλλήνων προσαγορευθῆναι
Galatae Celti by the Greeks to-have-been-called
διὰ τὴν ἐπιφάνειαν, ἢ καὶ προσλαβόντων πρὸς τοῦτο
because-of the fame or also having-joined toward this
καὶ τῶν Μασσαλιωτῶν διὰ τὸ πλησιόχωρον.
also the Massaliotes because-of the nearness

The Aquitani resemble Iberians more than Galatae; fourteen Galatic nations between the Garumna and the Liger were added to them. The Garumna empties between the Bituriges Vivisci, with Burdigala, and the Santoni; Polybius cites Corbilo on the Liger, whose merchants, like those of Massalia and Narbo, could tell Scipio nothing of Britain, against Pytheas' lies. The Tarbelli have gold mines, the Convenae and Ausci the Latin right. Among the peoples between the Garumna and the Liger the Arverni were greatest, fighting Caesar under Vercingetorix at Gergovia and Alesia and earlier Maximus and Domitius; Luerius, father of Bituitus, once scattered gold and silver from his carriage for his followers to gather.

1 ἑξῆς δὲ περὶ τῶν Ἀκυιτανῶν λεκτέον καὶ τῶν
next and about the Aquitani one-must-speak and the
προσωρισμένων αὐτοῖς ἐθνῶν τετταρεσκαίδεκα Γαλατικῶν
attached to-them nations fourteen Galatic
τῶν μεταξὺ τοῦ Γαρούνα κατοικούντων καὶ τοῦ Λίγηρος,
those between the Garumna dwelling and the Liger
ὧν ἔνια ἐπιλαμβάνει καὶ τῆς τοῦ Ῥοδανοῦ ποταμίας
of-which some take-in also of-the of-the Rhodanus river-land
καὶ τῶν πεδίων τῶν κατὰ τὴν Ναρβωνῖτιν. ἁπλῶς γὰρ
and of-the plains those along — Narbonitis simply for
εἰπεῖν, οἱ Ἀκυιτανοὶ διαφέρουσι τοῦ Γαλατικοῦ φύλου
to-say the Aquitani differ from-the Galatic stock
κατά τε τὰς τῶν σωμάτων κατασκευὰς καὶ κατὰ τὴν
in both the of-the bodies builds and in the
γλῶτταν, ἐοίκασι δὲ μᾶλλον Ἴβηρσιν. ὁρίζονται δὲ
tongue they-resemble and rather Iberians they-are-bounded and
τῷ Γαρούνᾳ ποταμῷ ἐντὸς τούτου καὶ τῆς Πυρήνης
by-the Garumna river inside this and the Pyrene
οἰκοῦντες. ἔστι δὲ ἔθνη τῶν Ἀκυιτανῶν πλείω μὲν τῶν
dwelling are and nations of-the Aquitani more indeed than-the

εἴκοσι, μικρὰ δὲ καὶ ἄδοξα τὰ πολλά, μὲν παρωκεανιτικὰ
twenty small but and obscure the many indeed coast-dwelling
τὰ δὲ εἰς τὴν μεσόγαιαν καὶ τὰ ἄκρα τῶν Κεμμένων
the(-others) but into the interior and the heights of-the Cemmenus
ὀρῶν μέχρι Τεκτοσάγων ἀνέχοντα. ἐπειδὴ δὲ μικρὰ μερὶς
mountains as-far-as Tectosages reaching-up since and small portion
ἦν ἡ τοσαύτη, προσέθεσαν καὶ τὴν μεταξὺ τοῦ Γαρούνα
was the so-great they-added also the between the Garumna
καὶ τοῦ Λίγηρος. παράλληλοι δέ πώς εἰσιν οἱ ποταμοὶ
and the Liger parallel and roughly are the rivers
τῇ Πυρήνῃ καὶ δύο ποιοῦσι παραλληλόγραμμα πρὸς
to-the Pyrene and two make parallelograms with
αὐτὴν χωρία, ὁριζόμενα κατὰ τὰς ἄλλας πλευρὰς τῷ τε
it places bounded along the other sides by-the both
ὠκεανῷ καὶ τοῖς Κεμμένοις ὄρεσι· δισχιλίων δ' ὁμοῦ
ocean and the Cemmenus mountains of-two-thousand and nearly
τι σταδίων ἐστὶν ὁ πλοῦς ἑκατέρων τῶν ποταμῶν.
somewhat stades is the voyage of-each the rivers
ἐκβάλλει δ' ὁ μὲν Γαρούνας τρισὶ ποταμοῖς αὐξηθεὶς
empties and the indeed Garumna by-three rivers increased
εἰς τὸ μεταξὺ Βιτουρίγων τε τῶν Ὀΐσκων ἐπικαλουμένων
into the between Bituriges both the Vivisci surnamed
καὶ Σαντόνων, ἀμφοτέρων Γαλατικῶν ἐθνῶν· μόνον
and Santoni both Galatic nations only
γὰρ δὴ τὸ τῶν Βιτουρίγων τούτων ἔθνος ἐν τοῖς
for indeed the of-the Bituriges these nation among the
Ἀκυιτανοῖς ἀλλόφυλον ἵδρυται, καὶ οὐ συντελεῖ αὐτοῖς,
Aquitani of-other-stock is-set and not contributes to-them
ἔχει δὲ ἐμπόριον Βουρδίγαλα ἐπικείμενον λιμνοθαλάττῃ
it-has and emporium Burdigala lying-on lagoon
τινί, ἣν ποιοῦσιν αἱ ἐκβολαὶ τοῦ ποταμοῦ. ὁ δὲ Λίγηρ
some which make the mouths of-the river the and Liger

μεταξὺ Πικτόνων τε καὶ Ναμνιτῶν ἐκβάλλει. πρότερον
between Pictones both and Namnitae empties formerly
δὲ Κορβιλὼν ὑπῆρχεν ἐμπόριον ἐπὶ τούτῳ τῷ ποταμῷ,
and Corbilo was emporium on this the river
περὶ ἧς εἴρηκε Πολύβιος, μνησθεὶς τῶν ὑπὸ Πυθέου
about which has-spoken Polybius having-mentioned the-things by Pytheas
μυθολογηθέντων, ὅτι Μασσαλιωτῶν μὲν τῶν συμμιξάντων
mythologized that of-Massaliotes indeed those having-met
Σκιπίωνι οὐδεὶς εἶχε λέγειν οὐδὲν μνήμης ἄξιον ἐρωτηθεὶς
with-Scipio no-one was-able to-tell nothing of-mention worthy having-been-asked
ὑπὸ τοῦ Σκιπίωνος περὶ τῆς Βρεττανικῆς, οὐδὲ τῶν
by — Scipio about — Britannica nor of-those
ἐκ Νάρβωνος οὐδὲ τῶν ἐκ Κορβιλῶνος, αἵπερ ἦσαν
from Narbo nor of-those from Corbilo which-very were
ἄρισται πόλεις τῶν ταύτῃ, Πυθέας δ' ἐθάρρησε τοσαῦτα
best cities of-those here Pytheas but dared so-many-things
ψεύσασθαι. τῶν δὲ Σαντόνων πόλις ἐστὶ Μεδιολάνιον.
to-lie of-the and Santoni city is Mediolanium
ἔστι δ' ἡ μὲν παρωκεανῖτις τῶν Ἀκυιτανῶν ἀμμώδης
is and the indeed coast-country of-the Aquitani sandy
ἡ πλείστη καὶ λεπτή, κέγχρῳ τρέφουσα, τοῖς δὲ ἄλλοις
the most and thin with-millet nourishing for-the but other
καρποῖς ἀφορωτέρα. ἐνταῦθα δ' ἐστὶ καὶ ὁ κόλπος
fruits more-barren here and is also the gulf
ὁ ποιῶν τὸν ἰσθμὸν πρὸς τὸν ἐν τῇ Ναρβωνίτιδι
the(-one) making the isthmus with the in the Narbonitic
παραλίᾳ Γαλατικὸν κόλπον, ὁμώνυμος ἐκείνῳ καὶ αὐτός.
coast Galatic gulf of-the-same-name with-that also itself
ἔχουσι δὲ Τάρβελλοι τὸν κόλπον, παρ' οἷς ἐστι τὰ
hold and Tarbelli the gulf among whom are the
χρυσεῖα σπουδαιότατα πάντων· ἐν γὰρ βόθροις ὀρυχθεῖσιν
gold-mines most-important of-all in for pits dug

ἐπὶ μικρὸν εὑρίσκονται καὶ χειροπληθεῖς χρυσίου πλάκες
for a-little-way are-found even hand-filling of-gold plates
ἔσθ' ὅτε μικρᾶς ἀποκαθάρσεως δεόμεναι. τὸ δὲ λοιπὸν
there-are when small refining needing the but rest
ψῆγμά ἐστι καὶ βῶλοι, καὶ αὗται κατεργασίαν οὐ πολλὴν
dust is and nuggets and these working not much
ἔχουσαι. ἡ δὲ μεσόγειος καὶ ὀρεινὴ βελτίω γῆν ἔχει,
having the but interior and mountainous better land has
πρὸς μὲν τῇ Πυρήνῃ τὴν τῶν Κωνουενῶν, ὅ ἐστι
near indeed the Pyrene the of-the Convenae which is
συνηλύδων, ἐν ᾗ πόλις Λούγδουνον καὶ τὰ τῶν Ὀνησιῶν
of-assembled-people in which city Lugdunum and the of-the Onesii
θερμὰ κάλλιστα ποτιμωτάτου ὕδατος· καλὴ δὲ καὶ ἡ
hot-springs finest of-most-drinkable water fine and also the
τῶν Αὐσκίων.
of-the Ausci
τὰ δὲ μεταξὺ τοῦ Γαρούνα καὶ τοῦ Λίγηρος ἔθνη τὰ 2
the and between the Garumna and the Liger nations those
προσκείμενα τοῖς Ἀκυιτανοῖς ἐστιν Ἑλουοὶ μὲν ἀπὸ τοῦ
lying-beside the Aquitani are Helvi indeed from the
Ῥοδανοῦ τὴν ἀρχὴν ἔχοντες, Οὐελλάιοι δὲ μετὰ τούτους,
Rhodanus the beginning having Vellavii and after these
οἳ προσωρίζοντό ποτε Ἀρουέρνοις, νῦν δὲ τάττονται καθ'
who were-attached once to-Arverni now but are-ranked by
ἑαυτούς· εἶτα Ἀρουέρνοι καὶ Λεμοουίκες καὶ Πετροκόριοι·
themselves then Arverni and Lemovices and Petrocorii
πρὸς δὲ τούτοις Νιτιόβριγες καὶ Καδοῦρκοι καὶ Βιτούριγες
besides and these Nitiobriges and Cadurci and Bituriges
οἱ Κοῦβοι καλούμενοι· πρὸς δὲ τῷ ὠκεανῷ Σάντονοί
the Cubi called near and the ocean Santoni
τε καὶ Πίκτονες, οἱ μὲν τῷ Γαρούνᾳ παροικοῦντες,
both and Pictones the(-ones) indeed the Garumna dwelling-along

ὡς εἴπομεν, οἱ δὲ τῷ Λίγηρι. Ῥουτηνοὶ δὲ καὶ
as we-said the(-others) but the Liger Ruteni and and
Γαβαλεῖς τῇ Ναρβωνίτιδι πλησιάζουσι. παρὰ μὲν οὖν
Gabales — Narbonitis approach among indeed then
τοῖς Πετροκορίοις σιδηρουργεῖά ἐστιν ἀστεῖα καὶ τοῖς
the Petrocorii iron-works are fine and the
Κούβοις Βιτούριξι, παρὰ δὲ τοῖς Καδούρκοις λινουργίαι,
Cubi Bituriges among and the Cadurci linen-factories
παρὰ δὲ τοῖς Ῥουτηνοῖς ἀργυρεῖα· ἔχουσι δ' ἀργυρεῖα
among and the Ruteni silver-mines have and silver-mines
καὶ οἱ Γαβαλεῖς. δεδώκασι δὲ Λάτιον Ῥωμαῖοι καὶ τῶν
also the Gabales have-given and Latin-right Romans also of-the
Ἀκυιτανῶν τισι, καθάπερ Αὐσκίοις καὶ Κωνουέναις.
Aquitani to-some as to-Ausci and Convenae
3 Ἀρουέρνοι δὲ ἵδρυνται μὲν ἐπὶ τῷ Λίγηρι· μητρόπολις δ'
Arverni and are-set indeed on the Liger mother-city and
αὐτῶν ἐστι Νεμωσσὸς ἐπὶ τῷ ποταμῷ κειμένη. ῥυεὶς
of-them is Nemossus on the river lying having-flowed
δ' οὗτος παρὰ Κήναβον, τὸ τῶν Καρνούτων ἐμπόριον
and this past Cenabum the of-the Carnutes emporium
κατὰ μέσον που τὸν πλοῦν συνοικούμενον, ἐκβάλλει πρὸς
at middle somewhere the voyage inhabited empties toward
τὸν ὠκεανόν. τῆς δυνάμεως δὲ τῆς πρότερον Ἀρουέρνοι
the ocean of-the power and the former Arverni
μέγα τεκμήριον παρέχονται τὸ πολλάκις πολεμῆσαι πρὸς
great proof provide the often to-make-war against
Ῥωμαίους, τοτὲ μὲν μυριάσιν εἴκοσι πάλιν δὲ διπλασίαις.
Romans at-one-time indeed with-myriads twenty again but double
τοσαύταις γὰρ πρὸς Καίσαρα τὸν θεὸν διηγωνίσαντο μετὰ
with-so-many for against Caesar the god they-fought-it-out with
Οὐερκιγγετόριγος, πρότερον δὲ καὶ εἴκοσι πρὸς Μάξιμον τὸν
Vercingetorix before and also twenty against Maximus the

Αἰμιλιανόν, καὶ πρὸς Δομίτιον δ' ὡσαύτως Ἀηνόβαρβον.
Aemilianus and against Domitius and likewise Ahenobarbus
πρὸς μὲν οὖν Καίσαρα περί τε Γεργοουίαν πόλιν τῶν
against indeed then Caesar about both Gergovia city of-the
Ἀρουέρνων ἐφ' ὑψηλοῦ ὄρους κειμένην συνέστησαν οἱ
Arverni on high mountain lying took-place the
ἀγῶνες, ἐξ ἧς ἦν ὁ Οὐερκιγγέτοριξ· καὶ περὶ Ἀλησίαν
contests from which was — Vercingetorix and about Alesia
πόλιν Μανδουβίων, ἔθνους ὁμόρου τοῖς Ἀρουέρνοις, καὶ
city of-Mandubii nation bordering on-the Arverni also
ταύτην ἐφ' ὑψηλοῦ λόφου κειμένην περιεχομένην δ' ὄρεσι
this on high hill lying surrounded and by-mountains
καὶ ποταμοῖς δυσίν, ἐν ᾗ καὶ ἑάλω ὁ ἡγεμὼν καὶ ὁ
and rivers two in which also was-captured the leader and the
πόλεμος τέλος ἔσχε· πρὸς δὲ Μάξιμον Αἰμιλιανὸν κατὰ τὴν
war end had against but Maximus Aemilianus at the
συμβολὴν τοῦ τ' Ἴσαρος καὶ τοῦ Ῥοδανοῦ, καθ' ἣν καὶ τὸ
confluence of-the both Isar and the Rhodanus at which also the
Κέμμενον ὄρος πλησιάζει τῷ Ῥοδανῷ· πρὸς δὲ Δομίτιον
Cemmenus mountain approaches the Rhodanus against and Domitius
κατωτέρω ἔτι κατὰ τὴν συμβολὴν τοῦ τε Σούλγα καὶ τοῦ
lower still at the confluence of-the both Sulgas and the
Ῥοδανοῦ. διέτειναν δὲ τὴν ἀρχὴν οἱ Ἀρουέρνοι καὶ μέχρι
Rhodanus extended and the rule the Arverni even as-far-as
Νάρβωνος καὶ τῶν ὅρων τῆς Μασσαλιώτιδος, ἐκράτουν
Narbo and the boundaries — of-Massaliotis they-ruled
δὲ καὶ τῶν μέχρι Πυρήνης ἐθνῶν καὶ μέχρι ὠκεανοῦ
and also of-the as-far-as Pyrene nations and as-far-as ocean
καὶ Ῥήνου. Βιτυΐτου δὲ τοῦ πρὸς τὸν Μάξιμον καὶ
and Rhenus of-Bituitus and the(-one) against — Maximus and
τὸν Δομίτιον πολεμήσαντος ὁ πατὴρ Λουέριος τοσοῦτον
— Domitius having-warred the father Luerius so-much

πλούτῳ λέγεται καὶ τρυφῇ διενεγκεῖν, ὥστε ποτὲ ἐπίδειξιν
in-wealth is-said and in-luxury to-have-excelled so-that once display
ποιούμενος τοῖς φίλοις τῆς εὐπορίας ἐπ᾽ ἀπήνης φέρεσθαι
making to-the friends of-the abundance on carriage to-be-borne
διὰ πεδίου, χρυσοῦ νόμισμα καὶ ἀργύρου δεῦρο κἀκεῖσε
through plain of-gold coin and of-silver here and-there
διασπείρων, ὥστε συλλέγειν ἐκείνους ἀκολουθοῦντας.
scattering so-that to-gather those following

V · LUGDUNUM AND THE PEOPLES TO THE RHENUS

The rest of the country, to the Rhenus, falls to Lugdunum and to the Belgae. Lugdunum, at the meeting of the Arar and the Rhodanus, mints Rome's gold and silver, and before it stands the altar of the sixty nations to Augustus. The Aedui, called kinsmen of the Romans, and the Sequani quarreled over the Arar's tolls. The Rhenus rises in the Adula among the Helvetii, gold-rich but turned to brigandage, whom Caesar crushed; the length Asinius gives it is too great. The Sequani, Mediomatrici, Treveri, Nervii, and Menapii follow along the river, with the Suebi beyond; westward live the Senones, Remi, and Morini, and the Arduenna forest, where the people once barricaded themselves.

1 μετὰ δὲ τὴν Ἀκυιτανὴν μερίδα καὶ τὴν Ναρβωνῖτιν ἡ ἐφεξῆς
after and the Aquitanian portion and — Narbonitis the next
ἐστι μέχρι τοῦ Ῥήνου παντὸς ἀπὸ τοῦ Λίγηρος ποταμοῦ καὶ
is as-far-as the Rhenus whole from the Liger river and
τοῦ Ῥοδανοῦ, καθ᾽ ὃ συνάπτει πρὸς τὸ Λούγδουνον ἀπὸ τῆς
the Rhodanus at which joins with — Lugdunum from the
πηγῆς κατενεχθεὶς ὁ Ῥοδανός. ταύτης δὲ τῆς χώρας τὰ μὲν
source borne-down the Rhodanus of-this and the country the indeed
ἄνω μέρη τὰ πρὸς ταῖς πηγαῖς τῶν ποταμῶν, τοῦ τε Ῥήνου
upper parts those near the sources of-the rivers of-the both Rhenus
καὶ τοῦ Ῥοδανοῦ, μέχρι μέσων σχεδόν τι τῶν πεδίων ὑπὸ
and the Rhodanus as-far-as middle nearly somewhat of-the plains under

τῷ Λουγδούνῳ τέτακται, τὰ δὲ λοιπὰ καὶ παρωκεανιτικὰ
— *Lugdunum are-ranked the but remaining and coast-dwelling*
ὑπ᾽ ἄλλῃ τέτακται μερίδι, ἣν ἰδίως Βέλγαις προσνέμουσιν·
under another are-ranked portion which specifically to-Belgae they-assign
ἡμεῖς δὲ κοινότερον τὰ καθ᾽ ἕκαστα δηλώσομεν.
we but more-generally the-things in particular will-make-plain
αὐτὸ μὲν δὴ τὸ Λούγδουνον ἐκτισμένον ὑπὸ λόφῳ 2
itself indeed indeed — Lugdunum founded under hill
κατὰ τὴν συμβολὴν τοῦ τε Ἄραρος τοῦ ποταμοῦ καὶ
at the confluence of-the both Arar the river and
τοῦ Ῥοδανοῦ κατέχουσι Ῥωμαῖοι. εὐανδρεῖ δὲ μάλιστα
the Rhodanus hold Romans it-abounds-in-men and most
τῶν ἄλλων πλὴν Νάρβωνος· καὶ γὰρ ἐμπορίῳ χρῶνται
of-the others except Narbo also for emporium they-use
καὶ τὸ νόμισμα χαράττουσιν ἐνταῦθα τό τε ἀργυροῦν
and the coinage strike here the both silver
καὶ τὸ χρυσοῦν οἱ τῶν Ῥωμαίων ἡγεμόνες. τό τε ἱερὸν
and the gold the of-the Romans governors the and temple
τὸ ἀναδειχθὲν ὑπὸ πάντων κοινῇ τῶν Γαλατῶν
the(-one) dedicated by all in-common the Galatae
Καίσαρι τῷ Σεβαστῷ πρὸ ταύτης ἵδρυται τῆς πόλεως
to-Caesar — Augustus before this is-set the city
ἐπὶ τῇ συμβολῇ τῶν ποταμῶν· ἔστι δὲ βωμὸς ἀξιόλογος
at the confluence of-the rivers is and altar considerable
ἐπιγραφὴν ἔχων τῶν ἐθνῶν ἑξήκοντα τὸν ἀριθμὸν καὶ
inscription having of-the nations sixty in-the number and
εἰκόνες τούτων ἑκάστου μία καὶ ἄλλος μέγας. προκάθηται
images of-these each one and another great presides
δὲ τοῦ ἔθνους τοῦ Σεγοσιανῶν ἡ πόλις αὕτη, κειμένου
and over-the nation the of-Segusiavi the city this lying
μεταξὺ τοῦ Ῥοδανοῦ καὶ τοῦ Λίγηρος· τὰ δ᾽ ἑξῆς ἔθνη
between the Rhodanus and the Liger the and next nations

τὰ συντείνοντα πρὸς τὸν Ῥῆνον, τὰ μὲν ὑπὸ τοῦ
those extending to the Rhenus the(-ones) indeed by the
Δούβιος ὁρίζεται τὰ δ' ὑπὸ τοῦ Ἄραρος. οὗτοι μὲν
Dubis are-bounded the(-others) but by the Arar these indeed
οὖν, ὡς εἴρηται πρότερον, ἀπὸ τῶν Ἄλπεων καὶ αὐτοὶ
then as has-been-said before from the Alps also themselves
κατενεχθέντες ἔπειτ' εἰς ἓν ῥεῖθρον συμπεσόντες εἰς τὸν
borne-down then into one stream having-fallen-together into the
Ῥοδανὸν καταφέρονται· ἄλλος δ' ἐστὶν ὁμοίως ἐν ταῖς
Rhodanus are-carried-down another and is likewise in the
Ἄλπεσι τὰς πηγὰς ἔχων, Σηκοάνας ὄνομα. ῥεῖ δ' εἰς τὸν
Alps the sources having Sequanas by-name flows and into the
ὠκεανὸν παράλληλος τῷ Ῥήνῳ διὰ ἐθνους ὁμωνύμου,
ocean parallel to-the Rhenus through nation of-the-same-name
συνάπτοντος τῷ Ῥήνῳ τὰ πρὸς ἕω, τὰ δ' εἰς
joining the Rhenus the-parts toward east the(-parts) but toward
τἀναντία τῷ Ἄραρι, ὅθεν αἱ κάλλισται ταριχεῖαι τῶν
the-opposite the Arar whence the finest salted-meats of-the
ὑείων κρεῶν εἰς τὴν Ῥώμην κατακομίζονται. μεταξὺ
swine flesh to — Rome are-conveyed between
μὲν οὖν τοῦ Λίγηρος καὶ τοῦ Ἄραρος οἰκεῖ τὸ τῶν
indeed then the Liger and the Arar dwells the of-the
Αἰδούων ἔθνος, πόλιν ἔχον Καβυλλῖνον ἐπὶ τῷ Ἄραρι καὶ
Aedui nation city having Cabyllinum on the Arar and
φρούριον Βίβρακτα. οἱ δὲ Αἴδουοι καὶ συγγενεῖς Ῥωμαίων
fort Bibracte the and Aedui also kinsmen of-Romans
ὠνομάζοντο καὶ πρῶτοι τῶν ταύτῃ προσῆλθον πρὸς τὴν
were-named and first of-those here came to the
φιλίαν καὶ συμμαχίαν. πέραν δὲ τοῦ Ἄραρος οἰκοῦσιν
friendship and alliance beyond and the Arar dwell
οἱ Σηκοανοί, διάφοροι καὶ τοῖς Ῥωμαίοις ἐκ πολλοῦ
the Sequani at-variance both with-the Romans from long-ago

γεγονότες καὶ τοῖς Αἰδούοις, ὅτι πρὸς Γερμανοὺς
having-been and with-the Aedui because to Germans
προσεχώρουν πολλάκις κατὰ τὰς ἐφόδους αὐτῶν τὰς
they-went-over often at the attacks of-them those
ἐπὶ τὴν Ἰταλίαν, καὶ ἐπεδείκνυντό γε οὐ τὴν τυχοῦσαν
against — Italy and displayed indeed not the ordinary
δύναμιν, ἀλλὰ καὶ κοινωνοῦντες αὐτοῖς ἐποίουν μεγάλους
power but both sharing with-them they-made great
καὶ ἀφιστάμενοι μικρούς· πρὸς δὲ τοὺς Αἰδούους καὶ διὰ
and standing-aloof small toward and the Aedui also because-of
ταῦτα μέν, ἀλλ' ἐπέτεινε τὴν ἔχθραν ἡ τοῦ ποταμοῦ
these-things indeed but intensified the enmity the of-the river
ἔρις τοῦ διείργοντος αὐτούς, ἑκατέρου τοῦ ἔθνους
strife of-the(-one) separating them each the nation
ἴδιον ἀξιοῦντος εἶναι τὸν Ἄραρα καὶ ἑαυτῷ προσήκειν τὰ
own claiming to-be the Arar and to-itself to-belong the
διαγωγικὰ τέλη· νυνὶ δ' ὑπὸ τοῖς Ῥωμαίοις ἅπαντ' ἐστί.
transit tolls now but under the Romans all is
τὴν δ' ἐπὶ τῷ Ῥήνῳ πρῶτοι τῶν ἁπάντων οἰκοῦσιν 3
the and on the Rhenus first of-the all dwell
Ἐλουήττιοι, παρ' οἷς εἰσιν αἱ πηγαὶ τοῦ ποταμοῦ ἐν
Helvetii among whom are the sources of-the river in
τῷ Ἀδούλᾳ ὄρει. τοῦτο δ' ἐστὶ μέρος τῶν Ἄλπεων,
the Adula mountain this and is part of-the Alps
ὅθεν καὶ ὁ Ἀδούας εἰς τἀναντία μέρη ῥεῖ τὰ πρὸς
whence also the Aduas into the-opposite parts flows those toward
τὴν ἐντὸς Κελτικὴν καὶ πληροῖ τὴν Λάριον λίμνην, πρὸς
the inner Celtica and fills the Larius lake by
ᾗ ἔκτισται τὸ Κῶμον, εἶτ' ἐνθένδε εἰς τὸν Πάδον
which has-been-founded — Comum then thence into the Padus
συμβάλλει, περὶ ὧν ὕστερον ἐροῦμεν. καὶ ὁ Ῥῆνος
empties about which later we-shall-speak also the Rhenus

δὲ εἰς ἕλη μεγάλα καὶ λίμνην ἀναχεῖται μεγάλην, ἧς
and into marshes great and lake spreads great which
ἐφάπτονται καὶ Ῥαιτοὶ καὶ Οὐινδολικοὶ τῶν Ἀλπείων τινὲς
touch both Rhaeti and Vindelici of-the Alpine some
καὶ τῶν ὑπεραλπείων. φησὶ δὲ τὸ μῆκος αὐτοῦ σταδίων
and of-the beyond-the-Alps says and the length of-it of-stades
ἑξακισχιλίων Ἀσίνιος, οὐκ ἔστι δέ· ἀλλ' ἐπ' εὐθείας μὲν
six-thousand Asinius not it-is and but in straight-line indeed
τοῦ ἡμίσους ὀλίγον ἂν ὑπερβάλλοι, τοῖς δὲ σκολιώμασι
the half a-little — would-exceed by-the but windings
καὶ χίλιοι προστεθέντες ἱκανῶς ἂν ἔχοιεν· καὶ γὰρ ὀξύς
even a-thousand added sufficiently — would-be and for swift
ἐστι, διὰ τοῦτο δὲ καὶ δυσγεφύρωτος καὶ διὰ πεδίων
it-is because-of this and also hard-to-bridge and through plains
ὕπτιος φέρεται τὸ λοιπὸν καταβὰς ἀπὸ τῶν ὀρῶν·
level is-borne the remaining having-come-down from the mountains
πῶς οὖν οἷόν τε μένειν ὀξὺν καὶ βίαιον, εἰ τῷ ὑπτιασμῷ
how then possible — to-remain swift and violent if to-the levelness
προσδοίημεν καὶ σκολιότητας πολλὰς καὶ μακράς; φησὶ
we-should-add also windings many and long says
δὲ καὶ δίστομον εἶναι μεμψάμενος τοὺς πλείω λέγοντας·
and also two-mouthed to-be having-blamed those more saying
ἐγκυκλοῦνται μὲν δή τινα χώραν ταῖς σκολιότησι καὶ
encircle indeed indeed some country with-the windings both
οὗτος καὶ ὁ Σηκοάνας, οὐ τοσαύτην. ἀμφότεροι δὲ ῥέουσιν
this and the Sequanas not so-much both but flow
ἐπὶ τὰς ἄρκτους ἀπὸ τῶν νοτίων μερῶν· πρόκειται δ'
toward the north from the southern parts lies-before and
αὐτῶν ἡ Βρεττανική, τοῦ μὲν Ῥήνου καὶ ἐγγύθεν ὥστε
them — Britannica of-the indeed Rhenus even near so-that
καθορᾶσθαι τὸ Κάντιον, ὅπερ ἐστὶ τὸ ἑῷον ἄκρον τῆς
to-be-seen — Cantium which-very is the eastern headland of-the

νήσου, τοῦ δὲ Σηκοάνα μικρὸν ἀπωτέρω· ἐνταῦθα δὲ καὶ
island of-the but Sequanas a-little farther here and also
τὸ ναυπήγιον συνεστήσατο Καῖσαρ ὁ θεὸς πλέων εἰς τὴν
the dockyard established Caesar the god sailing to —
Βρεττανικήν. τοῦ δὲ Σηκοάνα τὸ πλεόμενον ὑπὸ τῶν
Britannica of-the and Sequanas the part-navigated by those
ἐκ τοῦ Ἄραρος δεχομένων τὰ φορτία μικρῷ πλέον ἐστὶν
from the Arar receiving the cargoes a-little more is
ἢ τὸ τοῦ Λίγηρος καὶ τὸ τοῦ Γαρούνα· τὸ δὲ ἀπὸ
than the of-the Liger and the of-the Garumna the and from
Λουγδούνου μέχρι τοῦ Σηκοάνα χιλίων σταδίων ἐστίν,
Lugdunum as-far-as the Sequanas of-a-thousand stades is
ἔλαττον δ' ἢ διπλάσιον τούτου ἀπὸ τῶν εἰσβολῶν τοῦ
less but than double of-this from the mouths of-the
Ῥοδανοῦ μέχρι Λουγδούνου. φασὶ δὲ καὶ πολυχρύσους τοὺς
Rhodanus as-far-as Lugdunum they-say and also gold-rich the
Ἑλουηττίους, μηδὲν μέντοι ἧττον ἐπὶ ληστείαν τραπέσθαι
Helvetii not-at-all however less to brigandage to-have-turned
τὰς τῶν Κίμβρων εὐπορίας ἰδόντας· ἀφανισθῆναι δ'
the of-the Cimbri riches having-seen to-have-been-wiped-out and
αὐτῶν τὰ δύο φῦλα τριῶν ὄντων κατὰ στρατείας.
of-them the two tribes three being in campaigns
ὅμως δ' ἐκ τῶν λοιπῶν τὸ τῶν ἐπιγόνων πλῆθος
nevertheless but from the remaining the of-the descendants multitude
ἐδήλωσεν ὁ πρὸς Καίσαρα τὸν θεὸν πόλεμος, ἐν ᾧ
showed the against Caesar the god war in which
περὶ τετταράκοντα μυριάδες σωμάτων διεφθάρησαν, τοὺς
about forty myriads of-persons were-destroyed the
δὲ λοιποὺς σώζεσθαι μεθῆκεν εἰς ὀκτακισχιλίους, ὅπως μὴ
and rest to-be-saved he-let-go to eight-thousand so-that not
τοῖς Γερμανοῖς ὁμόροις οὖσιν ἔρημον τὴν χώραν ἀφῇ.
to-the Germans bordering being empty the country he-might-leave

4 μετὰ δὲ τοὺς Ἑλουηττίους Σηκοανοὶ καὶ Μεδιοματρικοὶ
after and the Helvetii Sequani and Mediomatrici
κατοικοῦσι τὸν Ῥῆνον, ἐν οἷς ἵδρυται Γερμανικὸν ἔθνος
dwell-along the Rhenus among whom is-set German nation
περαιωθὲν ἐκ τῆς οἰκείας Τρίβοκχοι. ἐν δὲ τοῖς Σηκοανοῖς
having-crossed from the homeland Triboci in and the Sequani
ἐστι τὸ ὄρος ὁ Ἰουράσιος, διορίζει δ' Ἑλουηττίους καὶ
is the mountain the Jurasius separates and Helvetii and
Σηκοανούς. ὑπὲρ οὖν τῶν Ἑλουηττίων καὶ τῶν Σηκοανῶν
Sequani beyond then the Helvetii and the Sequani
Αἴδουοι καὶ Λίγγονες οἰκοῦσι πρὸς δύσιν, ὑπὲρ δὲ τῶν
Aedui and Lingones dwell toward west beyond and the
Μεδιοματρικῶν Λεῦκοι καὶ τῶν Λιγγόνων τι μέρος. τὰ δὲ
Mediomatrici Leuci and of-the Lingones some part the and
μεταξὺ ἔθνη τοῦ τε Λίγηρος καὶ τοῦ Σηκοάνα ποταμοῦ τὰ
between nations of-the both Liger and the Sequanas river those
πέραν τοῦ Ῥοδανοῦ τε καὶ τοῦ Ἄραρος παράκειται πρὸς
beyond the Rhodanus both and the Arar lie-beside toward
ἄρκτον τοῖς τε Ἀλλόβριξι καὶ τοῖς περὶ τὸ Λούγδουνον·
north the both Allobroges and those about — Lugdunum
τούτων δ' ἐπιφανέστατόν ἐστι τὸ τῶν Ἀρουέρνων καὶ τὸ
of-these and most-notable is the of-the Arverni and the
τῶν Καρνούτων, δι' ὧν ἀμφοῖν ἐνεχθεὶς ὁ Λίγηρ εἰς
of-the Carnutes through which both borne the Liger into
τὸν ὠκεανὸν ἔξεισι. δίαρμα δ' ἐστὶν εἰς τὴν Βρεττανικὴν
the ocean goes-out passage and is to — Britannica
ἀπὸ τῶν ποταμῶν τῆς Κελτικῆς εἴκοσι καὶ τριακόσιοι
from the rivers — of-Celtica twenty and three-hundred
στάδιοι· ὑπὸ γὰρ τὴν ἄμπωτιν ἀφ' ἑσπέρας ἀναχθέντες
stades at for the ebb-tide from evening having-put-to-sea
τῇ ὑστεραίᾳ περὶ ὀγδόην ὥραν καταίρουσιν εἰς τὴν
on-the next-day about eighth hour they-land on the

νῆσον. μετὰ δὲ τοὺς Μεδιοματρικοὺς καὶ Τριβόκχους
island after and the Mediomatrici and Triboci
παροικοῦσι τὸν Ῥῆνον Τρήουιροι, καθ' οὓς πεποίηται τὸ
dwell-along the Rhenus Treveri at whom has-been-made the
ζεῦγμα ὑπὸ τῶν Ῥωμαίων νυνὶ τῶν στρατηγούντων τὸν
bridge by the Romans now those conducting the
Γερμανικὸν πόλεμον. πέραν δὲ ᾤκουν Οὔβιοι κατὰ τοῦτον
German war beyond and dwelt Ubii at this
τὸν τόπον, οὓς μετήγαγεν Ἀγρίππας ἑκόντας εἰς τὴν
the place whom transferred Agrippa willing into the
ἐντὸς τοῦ Ῥήνου. Τρηουίροις δὲ συνεχεῖς Νέρουιοι, καὶ
inside the Rhenus with-Treveri and adjoining Nervii also
τοῦτο Γερμανικὸν ἔθνος· τελευταῖοι δὲ Μενάπιοι πλησίον
this German nation last and Menapii near
τῶν ἐκβολῶν ἐφ' ἑκάτερα τοῦ ποταμοῦ κατοικοῦντες
the mouths on both-sides of-the river dwelling
ἕλη καὶ δρυμοὺς οὐχ ὑψηλῆς ἀλλὰ πυκνῆς ὕλης καὶ
marshes and thickets not of-tall but of-dense wood and
ἀκανθώδους. κατὰ τούτους δ' ἵδρυνται Σούγαμβροι
thorny opposite these and are-set Sugambri
Γερμανοί. πάσης δ' ὑπέρκεινται τῆς ποταμίας ταύτης
Germans all and lie-above the river-land this
οἱ Σόηβοι προσαγορευόμενοι Γερμανοὶ καὶ δυνάμει καὶ
the Suebi called Germans both in-power and
πλήθει διαφέροντες τῶν ἄλλων, ὑφ' ὧν οἱ ἐξελαυνόμενοι
in-number excelling the others by whom those driven-out
κατέφευγον εἰς τὴν ἐντὸς τοῦ Ῥήνου νυνί· καὶ ἄλλοι
fled to the inside the Rhenus now and others
δὲ κατ' ἄλλους τόπους δυναστεύουσι καὶ διαδέχονται τὰ
and in other places hold-power and take-over the
ζώπυρα τοῦ πολέμου τῶν πρώτων ἀεὶ καταλυομένων.
embers of-the war the first always being-put-down

τῶν δὲ Τρηουίρων καὶ Νερουίων Σένονες καὶ Ῥῆμοι πρὸς
of-the and Treveri and Nervii Senones and Remi toward
ἑσπέραν οἰκοῦσιν, ἔτι δ' Ἀτρεβάτιοι καὶ Ἐβούρωνες·
west dwell further and Atrebatii and Eburones
τοῖς Μεναπίοις δ' εἰσὶ συνεχεῖς ἐπὶ τῇ θαλάττῃ Μορῖνοι
with-the Menapii and are adjoining on the sea Morini
καὶ Βελλοάκοι καὶ Ἀμβιανοὶ καὶ Σουεσσίωνες καὶ Κάλετοι
and Bellovaci and Ambiani and Suessiones and Caleti
μέχρι τῆς ἐκβολῆς τοῦ Σηκοάνα ποταμοῦ. ἐμφερὴς δ'
as-far-as the mouth of-the Sequanas river similar and
ἐστὶ τῇ τῶν Μεναπίων ἥ τε τῶν Μορίνων καὶ ἡ τῶν
is to-the of-the Menapii the both of-the Morini and the of-the
Ἀτρεβατίων καὶ Ἐβουρώνων· ὕλη γάρ ἐστιν οὐχ ὑψηλῶν
Atrebatii and Eburones forest for it-is not of-tall
δένδρων πολλὴ μὲν οὐ τοσαύτη δὲ ὅσην οἱ συγγραφεῖς
trees great indeed not so-great but as-much-as the historians
εἰρήκασι, τετρακισχιλίων σταδίων, καλοῦσι δ' αὐτὴν
have-said of-four-thousand stades they-call and it
Ἀρδουέννην· κατὰ δὲ τὰς πολεμικὰς ἐφόδους συμπλέκοντες
Arduenna in and the warlike attacks interweaving
τὰς τῶν θάμνων λύγους βατώδεις οὔσας ἀπέφραττον τὰς
the of-the bushes withes brambly being they-blocked the
παρόδους. ἔστι δ' ὅπου καὶ σκόλοπας κατέπηττον, αὐτοὶ
passages it-is and where also stakes they-fixed themselves
δὲ κατέδυνον εἰς τὰ βάθη πανοίκιοι, νησίδια ἔχοντες
and sank into the depths with-all-the-household islets having
ἐν τοῖς ἕλεσι· ἐν μὲν οὖν ταῖς ἐπομβρίαις ἀσφαλεῖς τὰς
in the marshes in indeed then the rainy-seasons safe the
καταφυγὰς εἶχον, ἐν δὲ τοῖς αὐχμοῖς ἡλίσκοντο ῥᾳδίως·
refuges they-had in but the droughts they-were-taken easily
νυνὶ δ' ἅπαντες οἱ ἐντὸς Ῥήνου καθ' ἡσυχίαν ὄντες
now but all those inside Rhenus in quiet being

ὑπακούουσι Ῥωμαίων. περὶ δὲ τὸν Σηκοάναν ποταμόν εἰσι
obey Romans about and the Sequanas river are
καὶ οἱ Παρίσιοι, νῆσον ἔχοντες ἐν τῷ ποταμῷ καὶ πόλιν
also the Parisii island having in the river and city
Λουκοτοκίαν, καὶ Μέλδοι καὶ Ληξόουιοι, παρωκεανῖται
Lutetia and Meldi and Lexovii coast-dwellers
οὗτοι. ἀξιολογώτατον δ' ἐστὶν ἔθνος τῶν ταύτῃ Ῥῆμοι,
these most-considerable and is nation of-those here Remi
καὶ ἡ μητρόπολις αὐτῶν Δουρικορτόρα μάλιστα συνοικεῖται
and the mother-city their Duricortora most is-inhabited
καὶ δέχεται τοὺς τῶν Ῥωμαίων ἡγεμόνας.
and receives the of-the Romans governors

VI · THE BELGAE AND THE CHARACTER OF THE GAULS

The Veneti fought Caesar at sea with oak ships and leather sails; Strabo thinks them the founders of the Adriatic Veneti. The whole Galatic race is war-mad, quick, and simple, easily provoked and easily persuaded, now at peace under Rome; the Belgae are bravest and once mustered three hundred thousand. Strabo describes their cloaks, long hair, weapons, wicker houses, and herds. Among them bards, vates, and Druids are honored, the Druids judging even wars and teaching that souls and the world are imperishable. Their vanity, the heads of enemies nailed to their porches, and their human sacrifices, which the Romans stopped, are recorded, with tales of the Samnite women and the ravens.

μετὰ δὲ τὰ λεχθέντα ἔθνη τὰ λοιπὰ Βελγῶν ἐστιν 1
after and the said nations the remaining of-Belgae are
ἔθνη τῶν παρωκεανιτῶν, ὧν Οὐένετοι μέν εἰσιν οἱ
nations of-the coast-dwellers of-which Veneti indeed are those
ναυμαχήσαντες πρὸς Καίσαρα· ἕτοιμοι γὰρ ἦσαν κωλύειν
having-fought-at-sea against Caesar ready for they-were to-hinder
τὸν εἰς τὴν Βρεττανικὴν πλοῦν χρώμενοι τῷ ἐμπορίῳ.
the to — Britannica voyage using the emporium

κατεναυμάχησε δὲ ῥᾳδίως, οὐκ ἐμβόλοις χρώμενος (ἦν
he-defeated-at-sea and easily not rams using were
γὰρ παχέα τὰ ξύλα) ἀλλ᾽ ἀνέμῳ φερομένων ἐπ᾽ αὐτὸν
for thick the timbers but by-wind being-borne against him
κατέσπων οἱ Ῥωμαῖοι τὰ ἱστία δορυδρεπάνοις· ἦν γὰρ
pulled-down the Romans the sails with-sickle-spears were for
σκύτινα διὰ τὴν βίαν τῶν ἀνέμων· ἁλύσεις δ᾽ ἔτεινον
of-leather because-of the violence of-the winds chains and they-stretched
ἀντὶ κάλων. πλατύπυγα δὲ ποιοῦσι καὶ ὑψίπρυμνα
instead-of ropes broad-bottomed and they-make also high-sterned
καὶ ὑψόπρωρα διὰ τὰς ἀμπώτεις, δρυΐνης ὕλης ἧς
and high-prowed because-of the ebb-tides of-oak timber of-which
ἐστιν εὐπορία· διόπερ οὐ συνάγουσι τὰς ἁρμονίας τῶν
is abundance wherefore not they-bring-together the joints of-the
σανίδων, ἀλλ᾽ ἀραιώματα καταλείπουσι· ταῦτα δὲ βρύοις
planks but gaps leave these and with-seaweed
διανάττουσι τοῦ μὴ κατὰ τὰς νεωλκίας καπυροῦσθαι τὴν
they-stuff-full for-the not at the hauling-ashore to-be-dried-out the
ὕλην μὴ νοτιζομένην, τοῦ μὲν βρύου νοτιωτέρου ὄντος
timber not being-moistened the indeed seaweed moister being
τῇ φύσει, τῆς δὲ δρυὸς ξηρᾶς καὶ ἀλιποῦς. τούτους οἶμαι
in-the nature the but oak dry and without-fat these I-think
τοὺς Οὐενέτους οἰκιστὰς εἶναι τῶν κατὰ τὸν Ἀδρίαν· καὶ
the Veneti founders to-be of-those along the Adrias and
γὰρ οἱ ἄλλοι πάντες σχεδόν τι οἱ ἐν τῇ Ἰταλίᾳ Κελτοὶ
for the others all nearly somewhat the in — Italy Celts
μετανέστησαν ἐκ τῆς ὑπὲρ τῶν Ἄλπεων γῆς, καθάπερ καὶ
migrated from the beyond the Alps land as also
οἱ Βόιοι καὶ Σένονες· διὰ δὲ τὴν ὁμωνυμίαν Παφλαγόνας
the Boii and Senones because-of and the sameness-of-name Paphlagonians
φασὶν αὐτούς. λέγω δ᾽ οὐκ ἰσχυριζόμενος· ἀρκεῖ γὰρ περὶ
they-say them I-speak but not insisting suffices for about

τῶν τοιούτων τὸ εἰκός. Ὀσίσμιοι δ' εἰσίν, οὓς Ὠστιμίους
the such-things the likely Osismii and are whom Ostimii
ὀνομάζει Πυθέας, ἐπί τινος προπεπτωκυίας ἱκανῶς ἄκρας
names Pytheas on some jutting-out considerably headland
εἰς τὸν ὠκεανὸν οἰκοῦντες, οὐκ ἐπὶ τοσοῦτον δὲ ἐφ' ὅσον
into the ocean dwelling not to so-far but to as-much-as
ἐκεῖνος φησι καὶ οἱ πιστεύσαντες ἐκείνῳ. τῶν δὲ μεταξὺ
that-one says and those having-believed him of-the and between
ἐθνῶν τοῦ τε Σηκοάνα καὶ τοῦ Λίγηρος οἱ μὲν
nations of-the both Sequanas and the Liger the(-ones) indeed
τοῖς Σηκοανοῖς οἱ δὲ τοῖς Ἀρουέρνοις ὁμοροῦσι.
with-the Sequani the(-others) but with-the Arverni border
τὸ δὲ σύμπαν φῦλον, ὃ νῦν Γαλλικόν τε καὶ Γαλατικὸν 2
the and whole stock which now Gallic both and Galatic
καλοῦσιν, ἀρειμάνιόν ἐστι καὶ θυμικόν τε καὶ ταχὺ
they-call war-mad is and high-spirited both and quick
πρὸς μάχην, ἄλλως δὲ ἁπλοῦν καὶ οὐ κακόηθες. διὰ
for battle otherwise but simple and not malicious because-of
δὲ τοῦτο ἐρεθισθέντες μὲν ἀθρόοι συνίασι πρὸς τοὺς
and this provoked indeed in-throngs they-gather for the
ἀγῶνας καὶ φανερῶς καὶ οὐ μετὰ περισκέψεως, ὥστε καὶ
contests both openly and not with circumspection so-that also
εὐμεταχείριστοι γίνονται τοῖς καταστρατηγεῖν ἐθέλουσι· καὶ
easy-to-handle they-become for-those to-outgeneral wishing and
γὰρ ὅτε βούλεται καὶ ὅπου καὶ ἀφ' ἧς ἔτυχε προφάσεως
for when one-wishes and where and from whatever happened pretext
παροξύνας τις αὐτοὺς ἑτοίμους ἔσχε πρὸς τὸν κίνδυνον,
having-provoked anyone them ready has for the danger
πλὴν βίας καὶ τόλμης οὐδὲν ἔχοντας τὸ συναγωνιζόμενον.
except force and daring nothing having the helping-the-fight
παραπεισθέντες δὲ εὐμαρῶς ἐνδιδόασι πρὸς τὸ χρήσιμον,
persuaded but easily they-give-in to the useful

ὥστε καὶ παιδείας ἅπτεσθαι καὶ λόγων. τῆς δὲ βίας
so-that also learning to-take-up and letters of-the and force
τὸ μὲν ἐκ τῶν σωμάτων ἐστὶ μεγάλων ὄντων, τὸ
the(-part) indeed from the bodies is large being the(-part)
δ' ἐκ τοῦ πλήθους· συνίασι δὲ κατὰ πλῆθος ῥᾳδίως
but from the multitude they-gather and in multitude easily
διὰ τὸ ἁπλοῦν καὶ αὐθέκαστον, συναγανακτούντων τοῖς
because-of the simple and straightforward being-indignant-with those
ἀδικεῖσθαι δοκοῦσιν ἀεὶ τῶν πλησίον. νυνὶ μὲν οὖν ἐν
to-be-wronged seeming always those near now indeed then in
εἰρήνῃ πάντες εἰσὶ δεδουλωμένοι καὶ ζῶντες κατὰ τὰ
peace all are having-been-enslaved and living according-to the
προστάγματα τῶν ἑλόντων αὐτοὺς Ῥωμαίων, ἀλλ' ἐκ
orders of-the having-taken them Romans but from
τῶν παλαιῶν χρόνων τοῦτο λαμβάνομεν περὶ αὐτῶν καὶ
the old times this we-take about them and
τῶν μέχρι νῦν συμμενόντων παρὰ τοῖς Γερμανοῖς νομίμων.
the until now remaining among the Germans customs
καὶ γὰρ τῇ φύσει καὶ τοῖς πολιτεύμασιν ἐμφερεῖς εἰσι
and for in-the nature and in-the constitutions similar are
καὶ συγγενεῖς ἀλλήλοις οὗτοι, ὅμορόν τε οἰκοῦσι χώραν
and kin to-one-another these bordering both dwell country
διοριζομένην τῷ Ῥήνῳ ποταμῷ καὶ παραπλήσια ἔχουσαν
bounded by-the Rhenus river and similar having
τὰ πλεῖστα. ἀρκτικωτέρα δ' ἐστὶν ἡ Γερμανία, κρινομένων
the most-things more-northern but is — Germania being-judged
τῶν τε νοτίων μερῶν πρὸς τὰ νότια καὶ τῶν ἀρκτικῶν
the both southern parts with the southern and the northern
πρὸς τὰ ἀρκτικά. διὰ τοῦτο δὲ καὶ τὰς μεταναστάσεις
with the northern because-of this and also the migrations
αὐτῶν ῥαδίως ὑπάρχειν συμβαίνει, φερομένων ἀγεληδὸν
their easily to-be happens being-borne in-herds

καὶ πανστρατιᾷ, μᾶλλον δὲ καὶ πανοικίων ἐξαιρόντων,
and with-whole-army rather and also with-all-households setting-out
ὅταν ὑπ᾽ ἄλλων ἐκβάλλωνται κρειττόνων. οἵ τε Ῥωμαῖοι
when by others they-are-thrown-out stronger the and Romans
πολὺ ῥᾷον τούτους ἐχειρώσαντο ἢ τοὺς Ἴβηρας·
much more-easily these subdued than the Iberians
καὶ γὰρ ἤρξαντο πρότερον καὶ ἐπαύσαντο ὕστερον
and for they-began earlier and ceased later
ἐκείνοις πολεμοῦντες, τούτους δ᾽ ἐν τῷ μεταξὺ χρόνῳ
those warring-with these but in the between time
πάντας κατέλυσαν, τοὺς ἀνὰ μέσον Ῥήνου καὶ τῶν
all they-put-down those in between Rhenus and the
Πυρηναίων ὀρῶν σύμπαντας. ἀθρόοι γὰρ καὶ κατὰ πλῆθος
Pyrenaean mountains all-together in-throngs for and in multitude
ἐμπίπτοντες ἀθρόοι κατελύοντο, οἱ δ᾽ ἐταμίευον καὶ
falling-on in-throngs were-put-down the(-others) but husbanded and
κατεκερμάτιζον τοὺς ἀγῶνας, ἄλλοτε ἄλλοι καὶ
broke-up-into-small-change the contests at-different-times different-ones and
κατ᾽ ἄλλα μέρη λῃστρικῶς πολεμοῦντες. εἰσὶ μὲν οὖν
in other parts in-brigand-fashion warring are indeed then
μαχηταὶ πάντες τῇ φύσει, κρείττους δ᾽ ἱππόται ἢ πεζοί,
warriors all by-the nature better but horsemen than foot-soldiers
καὶ ἔστι Ῥωμαίοις τῆς ἱππείας ἀρίστη παρὰ τούτων. ἀεὶ
and is for-Romans of-the cavalry best from these always
δὲ οἱ προσβορρότεροι καὶ παρωκεανῖται μαχιμώτεροι.
and the more-northern and coast-dwellers more-warlike
τούτων δὲ τοὺς Βέλγας ἀρίστους φασίν, εἰς πεντεκαίδεκα 3
of-these and the Belgae bravest they-say into fifteen
ἔθνη διῃρημένους, τὰ μεταξὺ τοῦ Ῥήνου καὶ τοῦ Λίγηρος
nations divided those between the Rhenus and the Liger
παροικοῦντα τὸν ὠκεανόν, ὥστε μόνους ἀντέχειν πρὸς τὴν
dwelling-along the ocean so-that alone to-hold-out against the

τῶν Γερμανῶν ἔφοδον, Κίμβρων καὶ Τευτόνων. αὐτῶν
of-the Germans attack of-Cimbri and Teutones of-themselves
δὲ τῶν Βελγῶν Βελλοάκους ἀρίστους φασί, μετὰ δὲ
and the Belgae Bellovaci bravest they-say after and
τούτους Σουεσσίωνας. τῆς δὲ πολυανθρωπίας σημεῖον· εἰς
these Suessiones of-the and populousness sign into
γὰρ τριάκοντα μυριάδας ἐξετάζεσθαί φασι τῶν Βελγῶν
for thirty myriads to-be-counted they-say of-the Belgae
πρότερον τῶν δυναμένων φέρειν ὅπλα. εἴρηται δὲ καὶ
formerly of-those able to-bear arms has-been-said and also
τὸ τῶν Ἑλουηττίων πλῆθος καὶ τὸ τῶν Ἀρουέρνων καὶ
the of-the Helvetii number and the of-the Arverni and
τὸ τῶν συμμάχων, ἐξ ὧν ἡ πολυανθρωπία φαίνεται καὶ
the of-the allies from which the populousness appears and
ὅπερ εἶπον ἡ τῶν γυναικῶν ἀρετὴ πρὸς τὸ τίκτειν καὶ
which-very I-said the of-the women excellence toward the to-bear and
ἐκτρέφειν τοὺς παῖδας. σαγηφοροῦσι δὲ καὶ κομοτροφοῦσι
to-rear the children they-wear-cloaks and also they-grow-their-hair
καὶ ἀναξυρίσι χρῶνται περιτεταμέναις, ἀντὶ δὲ χιτώνων
and trousers use close-fitting instead-of and tunics
σχιστοὺς χειριδωτοὺς φέρουσι μέχρι αἰδοίων καὶ γλουτῶν.
slit sleeved they-wear as-far-as private-parts and buttocks
ἡ δ' ἐρέα τραχεῖα μὲν ἀκρόμαλλος δέ, ἀφ' ἧς τοὺς δασεῖς
the and wool rough indeed long-haired but from which the shaggy
σάγους ἐξυφαίνουσιν οὓς λαίνας καλοῦσιν· οἱ μέντοι Ῥωμαῖοι
cloaks they-weave which laenae they-call the however Romans
καὶ ἐν τοῖς προσβορροτάτοις ὑποδιφθέρους τρέφουσι ποίμνας
even in the most-northern-parts under-skins rear flocks
ἱκανῶς ἀστείας ἐρέας. ὁπλισμὸς δὲ σύμμετρος τοῖς τῶν
considerably fine of-wool armament and proportionate to-the of-the
σωμάτων μεγέθεσι, μάχαιρα μακρὰ παρηρτημένη παρὰ τὸ
bodies sizes sword long hung-beside along the

δεξιὸν πλευρόν, καὶ θυρεὸς μακρὸς καὶ λόγχαι κατὰ λόγον
right side and shield long and spears in proportion
καὶ μάδαρις, πάλτου τι εἶδος. χρῶνται δὲ καὶ τόξοις ἔνιοι
and madaris of-javelin some kind they-use and also bows some
καὶ σφενδόναις· ἔστι δέ τι καὶ γρόσφῳ ἐοικὸς ξύλον,
and slings is and some-thing also to-a-grosphus like wood
ἐκ χειρὸς οὐκ ἐξ ἀγκύλης ἀφιέμενον, τηλεβολώτερον καὶ
from hand not from thong let-fly farther-carrying even
βέλους, ᾧ μάλιστα καὶ πρὸς τὰς τῶν ὀρνέων χρῶνται
than-an-arrow which most also for the of-the birds they-use
θήρας. χαμευνοῦσι δὲ καὶ μέχρι νῦν οἱ πολλοὶ καὶ
hunts they-sleep-on-the-ground and even until now the many and
καθεζόμενοι δειπνοῦσιν ἐν στιβάσι. τροφὴ δὲ πλείστη μετὰ
sitting dine on beds-of-straw food and most with
γάλακτος καὶ κρεῶν παντοίων, μάλιστα δὲ τῶν ὑείων καὶ
milk and meats of-all-kinds most and of-the pork both
νέων καὶ ἁλιστῶν. αἱ δ' ὗες καὶ ἀγραυλοῦσιν ὕψει τε
fresh and salted the and swine also stay-in-the-fields in-height both
καὶ ἀλκῇ καὶ τάχει διαφέρουσαι· κίνδυνος γοῦν ἐστι τῷ
and in-strength and in-speed excelling danger at-least is for-the
ἀήθει προσιόντι, ὡσαύτως καὶ λύκῳ. τοὺς δ' οἴκους
unaccustomed approaching likewise also for-a-wolf the and houses
ἐκ σανίδων καὶ γέρρων ἔχουσι μεγάλους θολοειδεῖς, ὄροφον
of planks and wickerwork they-have large dome-shaped roof
πολὺν ἐπιβάλλοντες. οὕτως δ' ἐστὶ δαψιλῆ καὶ τὰ ποίμνια
much throwing-on so and are abundant both the flocks
καὶ τὰ ὑοφόρβια ὥστε τῶν σάγων καὶ τῆς ταριχείας
and the herds-of-swine so-that of-the cloaks and of-the salted-meat
ἀφθονίαν μὴ τῇ Ῥώμῃ χορηγεῖσθαι μόνον, ἀλλὰ καὶ τοῖς
abundance not — to-Rome to-be-supplied only but also to-the
πλείστοις μέρεσι τῆς Ἰταλίας. ἀριστοκρατικαὶ δ' ἦσαν
most parts — of-Italy aristocratic and were

αἱ πλείους τῶν πολιτειῶν· ἕνα δ' ἡγεμόνα ἡροῦντο κατ'
the most of-the constitutions one and leader they-chose by
ἐνιαυτὸν τὸ παλαιόν, ὡς δ' αὕτως εἰς πόλεμον εἷς ὑπὸ
year the of-old as and likewise for war one by
τοῦ πλήθους ἀπεδείκνυτο στρατηγός· νυνὶ δὲ προσέχουσι
the multitude was-declared general now but they-attend
τοῖς τῶν Ῥωμαίων προστάγμασι τὸ πλέον. ἴδιον δὲ τὸ
to-the of-the Romans orders the most peculiar and the
ἐν τοῖς συνεδρίοις συμβαῖνον· ἐὰν γάρ τις θορυβῇ τὸν
in the councils happening if for anyone disturbs the
λέγοντα καὶ ὑποκρούσῃ, προσιὼν ὁ ὑπηρέτης ἐσπασμένος
speaker and interrupts approaching the attendant having-drawn
τὸ ξίφος κελεύει σιγᾶν μετ' ἀπειλῆς, μὴ παυομένου δέ,
the sword bids to-be-silent with threat not ceasing but
καὶ δεύτερον καὶ τρίτον ποιεῖ τὸ αὐτό, τελευταῖον δὲ
both a-second and a-third-time does the same at-last and
ἀφαιρεῖ τοῦ σάγου τοσοῦτον ὅσον ἄχρηστον ποιῆσαι
takes-away from-the cloak so-much as-much-as useless to-make
τὸ λοιπόν. τὸ δὲ περὶ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας,
the rest the and about the men and the women
τὸ διηλλάχθαι τὰ ἔργα ὑπεναντίως τοῖς παρ' ἡμῖν,
the to-have-been-exchanged the tasks contrary to-the among us
κοινὸν καὶ πρὸς ἄλλους συχνοὺς τῶν βαρβάρων ἐστί.
common also with others many of-the barbarians is
4 παρὰ πᾶσι δ' ὡς ἐπίπαν τρία φῦλα τῶν τιμωμένων
among all and on the-whole three classes of-the honored
διαφερόντως ἐστί, βάρδοι τε καὶ ὀυάτεις καὶ δρυΐδαι·
especially are bards both and vates and druids
βάρδοι μὲν ὑμνηταὶ καὶ ποιηταί, ὀυάτεις δὲ ἱεροποιοὶ
bards indeed singers and poets vates but sacrificers
καὶ φυσιολόγοι, δρυΐδαι δὲ πρὸς τῇ φυσιολογίᾳ καὶ τὴν
and natural-philosophers druids but besides the natural-philosophy also the

ἠθικὴν φιλοσοφίαν ἀσκοῦσι· δικαιότατοι δὲ νομίζονται καὶ
moral philosophy practice most-just and they-are-held and
διὰ τοῦτο πιστεύονται τάς τε ἰδιωτικὰς κρίσεις καὶ
because-of this are-entrusted-with the both private judgments and
τὰς κοινάς, ὥστε καὶ πολέμους διῄτων πρότερον καὶ
the public so-that even wars they-arbitrated formerly and
παρατάττεσθαι μέλλοντας ἔπαυον, τὰς δὲ φονικὰς δίκας
to-draw-up being-about-to they-stopped the and murder cases
μάλιστα τούτοις ἐπετέτραπτο δικάζειν. *** ὅταν τε φορὰ
especially to-these had-been-entrusted to-judge (lacuna) when and yield
τούτων ᾖ, φορὰν καὶ τῆς χώρας νομίζουσιν ὑπάρχειν.
of-these there-be yield also of-the country they-think to-be
ἀφθάρτους δὲ λέγουσι καὶ οὗτοι καὶ ἄλλοι τὰς ψυχὰς καὶ
imperishable and say both these and others the souls and
τὸν κόσμον, ἐπικρατήσειν δέ ποτε καὶ πῦρ καὶ ὕδωρ.
the universe to-be-going-to-prevail and once both fire and water
τῷ δ' ἁπλῷ καὶ θυμικῷ πολὺ τὸ ἀνόητον καὶ ἀλαζονικὸν 5
to-the and simple and high-spirited much the foolish and boastful
πρόσεστι καὶ τὸ φιλόκοσμον· χρυσοφοροῦσί τε γάρ,
is-attached and the love-of-ornament they-wear-gold both for
περὶ μὲν τοῖς τραχήλοις στρεπτὰ ἔχοντες περὶ δὲ τοῖς
about indeed the necks torques having about and the
βραχίοσι καὶ τοῖς καρποῖς ψέλια, καὶ τὰς ἐσθῆτας βαπτὰς
arms and the wrists bracelets and the clothes dyed
φοροῦσι καὶ χρυσοπάστους οἱ ἐν ἀξιώματι. ὑπὸ τῆς
wear and gold-sprinkled those in rank by the
τοιαύτης δὲ κουφότητος ἀφόρητοι μὲν νικῶντες, ἐκπλαγεῖς
such and lightness unbearable indeed winning panic-stricken
δ' ἡττηθέντες ὁρῶνται. πρόσεστι δὲ τῇ ἀνοίᾳ καὶ τὸ
but defeated are-seen is-attached and to-the folly also the
βάρβαρον καὶ τὸ ἔκφυλον, ὃ τοῖς προσβόρροις ἔθνεσι
barbarous and the outlandish which the northern nations

παρακολουθεῖ πλεῖστον, τὸ ἀπὸ τῆς μάχης ἀπιόντας τὰς
accompanies most the from the battle departing the
κεφαλὰς τῶν πολεμίων ἐξάπτειν ἐκ τῶν αὐχένων τῶν
heads of-the enemies to-hang from the necks of-the
ἵππων, κομίσαντας δὲ προσπατταλεύειν τοῖς προπυλαίοις.
horses having-brought and to-nail to-the porches
φησὶ γοῦν Ποσειδώνιος αὐτὸς ἰδεῖν ταύτην τὴν θέαν
says at-least Posidonius himself to-have-seen this the sight
πολλαχοῦ, καὶ τὸ μὲν πρῶτον ἀηθίζεσθαι, μετὰ δὲ ταῦτα
in-many-places and the indeed first to-feel-it-strange after but these-things
φέρειν πράως διὰ τὴν συνήθειαν. τὰς δὲ τῶν ἐνδόξων
to-bear calmly because-of the familiarity the and of-the notable
κεφαλὰς κεδροῦντες ἐπεδείκνυον τοῖς ξένοις, καὶ οὐδὲ
heads embalming-with-cedar they-displayed to-the strangers and not-even
πρὸς ἰσοστάσιον χρυσὸν ἀπολυτροῦν ἠξίουν. καὶ τούτων
for equal-weight gold to-give-back they-deigned also from-these
δ' ἔπαυσαν αὐτοὺς Ῥωμαῖοι καὶ τῶν κατὰ τὰς θυσίας καὶ
and stopped them Romans and from-the in the sacrifices and
μαντείας ὑπεναντίων τοῖς παρ' ἡμῖν νομίμοις. ἄνθρωπον γὰρ
divinations contrary to-the among us customs man for
κατεσπεισμένον παίσαντες εἰς νῶτον μαχαίρᾳ ἐμαντεύοντο
consecrated having-struck in back with-sword they-divined
ἐκ τοῦ σφαδασμοῦ. ἔθυον δὲ οὐκ ἄνευ δρυϊδῶν. καὶ
from the convulsion they-sacrificed and not without druids also
ἄλλα δὲ ἀνθρωποθυσιῶν εἴδη λέγεται· καὶ γὰρ κατετόξευόν
other and of-human-sacrifices kinds are-told and for they-shot-down
τινας καὶ ἀνεσταύρουν ἐν τοῖς ἱεροῖς καὶ κατασκευάσαντες
some and impaled in the temples and having-built
κολοσσὸν χόρτου καὶ ξύλων, ἐμβαλόντες εἰς τοῦτον
colossus of-hay and wood having-thrown into this
βοσκήματα καὶ θηρία παντοῖα καὶ ἀνθρώπους, ὡλοκαύτουν.
cattle and beasts of-all-kinds and men they-burned-whole

Ἐν δὲ τῷ ὠκεανῷ φησιν εἶναι νῆσον μικρὰν οὐ πάνυ 6
in and the ocean he-says to-be island small not quite
πελαγίαν, προκειμένην τῆς ἐκβολῆς τοῦ Λίγηρος ποταμοῦ·
out-at-sea lying-before the mouth of-the Liger river
οἰκεῖν δὲ ταύτην τὰς τῶν Σαμνιτῶν γυναῖκας, Διονύσῳ
to-inhabit and this the of-the Samnitae women by-Dionysus
κατεχομένας καὶ ἱλασκομένας τὸν θεὸν τοῦτον τελεταῖς
possessed and propitiating the god this with-rites
τε καὶ ἄλλαις ἱεροποιίαις ἐξηλλαγμέναις. οὐκ ἐπιβαίνειν
both and other sacred-ceremonies outlandish not to-set-foot
δὲ ἄνδρα τῆς νήσου, τὰς δὲ γυναῖκας αὐτὰς πλεούσας
and man on-the island the but women themselves sailing
κοινωνεῖν τοῖς ἀνδράσι καὶ πάλιν ἐπανιέναι. ἔθος
to-have-intercourse with-the men and again to-return custom
δ' εἶναι κατ' ἐνιαυτὸν ἅπαξ τὸ ἱερὸν ἀποστεγάζεσθαι
and to-be by year once the temple to-be-unroofed
καὶ στεγάζεσθαι πάλιν αὐθημερὸν πρὸ δύσεως, ἑκάστης
and to-be-roofed again on-the-same-day before sunset each
φορτίον ἐπιφερούσης· ἧς δ' ἂν ἐκπέσῃ τὸ φορτίον,
load bringing-on of-whom and — falls the load
διασπᾶσθαι ταύτην ὑπὸ τῶν ἄλλων· φερούσας δὲ τὰ
to-be-torn-apart her by the others carrying and the
μέρη περὶ τὸ ἱερὸν μετ' εὐασμοῦ μὴ παύεσθαι πρότερον,
pieces round the temple with the-cry-euoi not to-cease sooner
πρὶν παύσωνται τῆς λύττης· ἀεὶ δὲ συμβαίνειν ὥστε
until they-cease from-the frenzy always and to-happen so-that
τινὰ ἐμπίπτειν τὴν τοῦτο πεισομένην. τούτου δ' ἔτι
some to-fall-upon the(-one) this going-to-suffer than-this and still
μυθωδέστερον εἴρηκεν Ἀρτεμίδωρος τὸ περὶ τοὺς κόρακας
more-fabulous has-told Artemidorus the about the ravens
συμβαῖνον. λιμένα γάρ τινα τῆς παρωκεανίτιδος ἱστορεῖ
happening harbor for some of-the ocean-coast he-records

δύο κοράκων ἐπονομαζόμενον, φαίνεσθαι δ' ἐν τούτῳ δύο
of-two ravens named to-appear and in this two
κόρακας τὴν δεξιὰν πτέρυγα παράλευκον ἔχοντας· τοὺς
ravens the right wing whitish having those
οὖν περί τινων ἀμφισβητοῦντας, ἀφικομένους δεῦρο ἐφ'
then about some-things disputing having-come here on
ὑψηλοῦ τόπου σανίδα θέντας ἐπιβάλλειν ψαιστά, ἑκάτερον
high place plank having-put to-throw-on barley-cakes each
χωρίς· τοὺς δ' ὄρνεις ἐπιπτάντας τὰ μὲν ἐσθίειν
separately the and birds having-flown-down the(-ones) indeed to-eat
τὰ δὲ σκορπίζειν· οὗ δ' ἂν σκορπισθῇ τὰ ψαιστά,
the(-others) but to-scatter of-whom and — be-scattered the barley-cakes
ἐκεῖνον νικᾶν. ταῦτα μὲν οὖν μυθωδέστερα λέγει, περὶ δὲ
that-one to-win these-things indeed then more-fabulous he-says about and
τῆς Δήμητρος καὶ Κόρης πιστότερα, ὅτι φησὶν εἶναι νῆσον
— Demeter and Core more-credible that he-says to-be island
πρὸς τῇ Βρεττανικῇ, καθ' ἣν ὅμοια τοῖς ἐν Σαμοθρᾴκῃ
near — Britannica on which similar to-those in Samothrace
περὶ τὴν Δήμητρα καὶ τὴν Κόρην ἱεροποιεῖται. καὶ τοῦτο
about — Demeter and — Core are-performed also this
δὲ τῶν πιστευομένων ἐστίν, ὅτι ἐν τῇ Κελτικῇ φύεται
and of-the-things believed is that in — Celtica grows
δένδρον ὅμοιον συκῇ, καρπὸν δ' ἐκφέρει παραπλήσιον
tree like to-fig-tree fruit and it-bears resembling
κιοκράνῳ κορινθιουργεῖ· ἐπιτμηθεὶς δ' οὗτος ἀφίησιν ὀπὸν
to-capital of-Corinthian-work having-been-cut and this gives-off juice
θανάσιμον πρὸς τὰς ἐπιχρίσεις τῶν βελῶν. [...] Ἔφορος
deadly for the smearings of-the arrows (omitted) Ephorus
δὲ ὑπερβάλλουσάν τε τῷ μεγέθει λέγει τὴν Κελτικήν,
and surpassing both in-the size says — Celtica
ὥστε ἥσπερ νῦν Ἰβηρίας καλοῦμεν ἐκείνοις τὰ πλεῖστα
so-that of-what-very now Iberia we-call to-those the most

προσνέμειν μέχρι Γαδείρων, φιλέλληνάς τε ἀποφαίνει τοὺς
to-assign as-far-as Gades philbellenes and declares the
ἀνθρώπους, καὶ πολλὰ ἰδίως λέγει περὶ αὐτῶν οὐκ
men and many-things peculiarly says about them not
ἐοικότα τοῖς νῦν. ἴδιον δὲ καὶ τοῦτο· ἀσκεῖν γὰρ αὐτοὺς
like to-the present peculiar and also this to-practice for them
μὴ παχεῖς εἶναι μηδὲ προγάστορας, τὸν δ' ὑπερβαλλόμενον
not fat to-be nor big-bellied the and exceeding
τῶν νέων τὸ τῆς ζώνης μέτρον ζημιοῦσθαι. ταῦτα
of-the young-men the of-the girdle measure to-be-fined these-things
μὲν περὶ τῆς ὑπὲρ τῶν Ἄλπεων Κελτικῆς.
indeed about the beyond the Alps Celtica

VII · BRITAIN, IERNE, AND THULE

Britain is triangular, its longest side facing Celtica; four crossings lead to it, and Caesar sailed from Itium. Most of the island is level and wooded, yielding grain, cattle, metals, hides, slaves, and hunting dogs; its people are taller than the Celts, simpler, and less skilled, living in fenced clearings under a misty sky. Caesar crossed twice without great result, and now its chieftains court Augustus, and duties on its trade bring Rome more than tribute would. Ierne, north of it, is wilder still, its people said to eat their dead fathers. Of Thule Pytheas lies, though he seems sound on the heavens; near the frozen zone, he says, people live on millet and roots and thresh their grain indoors for lack of sun.

ἡ δὲ Βρεττανικὴ τρίγωνος μέν ἐστι τῷ σχήματι, 1
— and Britannica triangular indeed is in-the shape
παραβέβληται δὲ τὸ μέγιστον αὐτῆς πλευρὸν τῇ Κελτικῇ,
is-laid-alongside and the greatest its side — to-Celtica
τοῦ μήκους οὔθ' ὑπερβάλλον οὔτ' ἐλλεῖπον· ἔστι γὰρ ὅσον
in-the length neither exceeding nor falling-short it-is for as-much-as
τετρακισχιλίων καὶ τριακοσίων ἢ τετρακοσίων σταδίων
of-four-thousand and three-hundred or four-hundred stades

ἑκάτερον, τό τε Κελτικὸν τὸ ἀπὸ τῶν ἐκβολῶν τοῦ
each the both Celtic the(-one) from the mouths of-the
Ῥήνου μέχρι πρὸς τὰ βόρεια τῆς Πυρήνης ἄκρα τὰ κατὰ
Rhenus as-far-as to the northern of-the Pyrene headlands those toward
Ἀκυιτανίαν, καὶ τὸ ἀπὸ Καντίου τοῦ καταντικρὺ τῶν
Aquitania and the(-one) from Cantium the opposite the
ἐκβολῶν τοῦ Ῥήνου, ἑωθινωτάτου σημείου τῆς Βρεττανικῆς,
mouths of-the Rhenus most-easterly point — of-Britannica
μέχρι πρὸς τὸ ἑσπέριον ἄκρον τῆς νήσου τὸ κατὰ τὴν
as-far-as to the western headland of-the island the(-one) toward —
Ἀκυιτανίαν καὶ τὴν Πυρήνην ἀντικείμενον. τοῦτο μὲν δὴ
Aquitania and the Pyrene lying-opposite this indeed then
τοὐλάχιστον διάστημα ἀπὸ τῆς Πυρήνης ἐπὶ τὸν Ῥῆνόν ἐστιν,
the-least distance from the Pyrene to the Rhenus is
ἐπεὶ τὸ μέγιστον εἴρηται ὅτι καὶ πεντακισχιλίων σταδίων
since the greatest has-been-said that even of-five-thousand stades
ἐστίν· ἀλλ᾽ εἰκὸς εἶναί τινα σύννευσιν ἐκ τῆς παραλλήλου
is but likely to-be some convergence from the parallel
θέσεως τῷ ποταμῷ πρὸς τὸ ὄρος, ἀμφοτέρωθεν ἐπιστροφῆς
position of-the river toward the mountain on-both-sides turn
τινος γινομένης κατὰ τὰς πρὸς τὸν ὠκεανὸν ἐσχατιάς.
some occurring at the toward the ocean extremities
2 τέτταρα δ᾽ ἐστὶ διάρματα, οἷς χρῶνται συνήθως ἐπὶ
four and are passages which they-use habitually to
τὴν νῆσον ἐκ τῆς ἠπείρου, τὰ ἀπὸ τῶν ἐκβολῶν τῶν
the island from the mainland those from the mouths of-the
ποταμῶν, τοῦ τε Ῥήνου καὶ τοῦ Σηκοάνα καὶ τοῦ Λίγηρος
rivers of-the both Rhenus and the Sequanas and the Liger
καὶ τοῦ Γαρούνα. τοῖς δ᾽ ἀπὸ τῶν περὶ τὸν Ῥῆνον τόπων
and the Garumna for-those and from the about the Rhenus places
ἀναγομένοις οὐκ ἀπ᾽ αὐτῶν τῶν ἐκβολῶν ὁ πλοῦς ἐστιν,
putting-to-sea not from themselves the mouths the voyage is

ἀλλὰ ἀπὸ τῶν ὁμορούντων τοῖς Μεναπίοις Μορίνων, παρ'
but from the bordering the Menapii Morini among
οἷς ἐστὶ καὶ τὸ Ἴτιον, ᾧ ἐχρήσατο ναυστάθμῳ Καῖσαρ
whom is also — Itium which used as-naval-station Caesar
ὁ θεός, διαίρων εἰς τὴν νῆσον· νύκτωρ δ' ἀνήχθη, καὶ
the god crossing to the island by-night and he-put-to-sea and
τῇ ὑστεραίᾳ κατῆρε περὶ τετάρτην ὥραν τριακοσίους καὶ
on-the next-day landed about fourth hour three-hundred and
εἴκοσι σταδίους τοῦ διάπλου τελέσας· κατέλαβε δ' ἐν
twenty stades of-the crossing having-completed he-found and in
ἀρούραις τὸν σῖτον. ἔστι δ' ἡ πλείστη τῆς νήσου πεδιὰς
fields the grain is and the most of-the island level
καὶ κατάδρυμος, πολλὰ δὲ καὶ γεώλοφα τῶν χωρίων ἐστί,
and wooded many and also hilly of-the places are
φέρει δὲ σῖτον καὶ βοσκήματα καὶ χρυσὸν καὶ ἄργυρον καὶ
bears and grain and cattle and gold and silver and
σίδηρον· ταῦτα δὴ κομίζεται ἐξ αὐτῆς καὶ δέρματα καὶ
iron these indeed are-exported from it also hides and
ἀνδράποδα καὶ κύνες εὐφυεῖς πρὸς τὰς κυνηγεσίας· Κελτοὶ
slaves and dogs well-suited for the hunts Celts
δὲ καὶ πρὸς τοὺς πολέμους χρῶνται καὶ τούτοις καὶ τοῖς
and also for the wars use both these and the
ἐπιχωρίοις. οἱ δὲ ἄνδρες εὐμηκέστεροι τῶν Κελτῶν εἰσι
native the and men taller than-the Celts are
καὶ ἧσσον ξανθότριχες, χαυνότεροι δὲ τοῖς σώμασι. σημεῖον
and less yellow-haired looser but in-the bodies sign
δὲ τοῦ μεγέθους· ἀντίπαιδας γὰρ εἴδομεν ἡμεῖς ἐν Ῥώμῃ
and of-the size boys for saw we in Rome
τῶν ὑψηλοτάτων αὐτόθι ὑπερέχοντας καὶ ἡμιποδίῳ,
than-the tallest there overtopping even by-half-a-foot
βλαισοὺς δὲ καὶ τἆλλα οὐκ εὐγράμμους τῇ συστάσει.
bandy-legged but and in-other-respects not well-lined in-the build

τὰ δ' ἔθη τὰ μὲν ὅμοια τοῖς Κελτοῖς τὰ
the and customs the(-ones) indeed similar to-the Celts the(-others)
δ' ἁπλούστερα καὶ βαρβαρώτερα, ὥστ' ἐνίους γάλακτος
but simpler and more-barbarous so-that some milk
εὐποροῦντας μὴ τυροποιεῖν διὰ τὴν ἀπειρίαν, ἀπείρους
abounding-in not to-make-cheese because-of the inexperience inexperienced
δ' εἶναι καὶ κηπείας καὶ ἄλλων γεωργικῶν. δυναστεῖαι
and to-be both of-gardening and of-other farming-things chieftaincies
δ' εἰσὶ παρ' αὐτοῖς. πρὸς δὲ τοὺς πολέμους ἁπήναις
and are among them for and the wars chariots
χρῶνται τὸ πλέον, καθάπερ καὶ τῶν Κελτῶν ἔνιοι. πόλεις
they-use the most as also of-the Celts some cities
δ' αὐτῶν εἰσιν οἱ δρυμοί· περιφράξαντες γὰρ δένδρεσι
and their are the forests having-fenced-round for with-trees
καταβεβλημένοις εὐρυχωρῆ κύκλον ἐνταῦθα καὶ αὐτοὶ
felled spacious circle there both themselves
καλυβοποιοῦνται καὶ τὰ βοσκήματα κατασταθμεύουσιν οὐ
make-huts and the cattle stable not
πρὸς πολὺν χρόνον. ἔπομβροι δ' εἰσὶν οἱ ἀέρες μᾶλλον
for long time rainy and are the climates rather
ἢ νιφετώδεις· ἐν δὲ ταῖς αἰθρίαις ὁμίχλη κατέχει
than snowy in and the clear-weathers mist holds
πολὺν χρόνον, ὥστε δι' ἡμέρας ὅλης ἐπὶ τρεῖς μόνον
long time so-that through day whole for three only
ἢ τέτταρας ὥρας τὰς περὶ τὴν μεσημβρίαν ὁρᾶσθαι τὸν
or four hours those about the noon to-be-seen the
ἥλιον. τοῦτο δὲ κἀν τοῖς Μορίνοις συμβαίνει καὶ τοῖς
sun this and also-among the Morini happens and the
Μεναπίοις καὶ ὅσοι τούτων πλησιόχωροι.
Menapii and as-many-as of-these neighbors

δὶς δὲ διέβη Καῖσαρ εἰς τὴν νῆσον ὁ θεός, ἐπανῆλθε δὲ διὰ 3
twice and crossed Caesar to the island the god returned but with
ταχέων οὐδὲν μέγα διαπραξάμενος οὐδὲ προελθὼν ἐπὶ πολὺ
speed nothing great having-accomplished nor having-advanced for far
τῆς νήσου, διά τε τὰς ἐν τοῖς Κελτοῖς γενομένας στάσεις
of-the island because-of both the in the Celts having-arisen revolts
τῶν τε βαρβάρων καὶ τῶν οἰκείων στρατιωτῶν, καὶ διὰ
of-the both barbarians and the own soldiers and because-of
τὸ πολλὰ τῶν πλοίων ἀπολέσθαι κατὰ τὴν πανσέληνον
the many of-the ships to-have-been-lost at the full-moon
αὔξησιν λαβουσῶν τῶν ἀμπώτεων καὶ τῶν πλημμυρίδων.
increase having-taken the ebb-tides and the high-tides
δύο μέντοι ἢ τρεῖς νίκας ἐνίκησε τοὺς Βρεττανούς, καίπερ
two however or three victories he-won-over the Britons although
δύο τάγματα μόνον περαιώσας τῆς στρατιᾶς, καὶ ἀπήγαγεν
two legions only having-taken-across of-the army and he-led-away
ὅμηρά τε καὶ ἀνδράποδα καὶ τῆς ἄλλης λείας πλῆθος.
hostages both and slaves and of-the other booty multitude
νυνὶ μέντοι τῶν δυναστῶν τινες τῶν αὐτόθι πρεσβεύσεσι
now however of-the chieftains some of-those there by-embassies
καὶ θεραπείαις κατασκευασάμενοι τὴν πρὸς Καίσαρα τὸν
and attentions having-secured the toward Caesar —
Σεβαστὸν φιλίαν, ἀναθήματά τε ἀνέθηκαν ἐν τῷ Καπετωλίῳ
Augustus friendship offerings both dedicated in the Capitolium
καὶ οἰκείαν σχεδόν τι παρεσκεύασαν τοῖς Ῥωμαίοις
and own nearly somewhat made to-the Romans
ὅλην τὴν νῆσον· τέλη τε οὕπως ὑπομένουσι βαρέα τῶν τε
whole the island duties both thus submit-to heavy of-the both
εἰσαγομένων εἰς τὴν Κελτικὴν ἐκεῖθεν καὶ τῶν ἐξαγομένων
imported into — Celtica from-there and of-the exported
ἐνθένδε (ταῦτα δ' ἐστὶν ἐλεφάντινα ψάλια καὶ περιαυχένια
from-here these and are ivory chains and necklaces

καὶ λυγγούρια καὶ ὑαλᾶ σκεύη καὶ ἄλλος ῥῶπος τοιοῦτος),
and amber-gems and glass vessels and other petty-ware such
ὥστε μηδὲν δεῖν φρουρᾶς τῆς νήσου· τοὐλάχιστον μὲν
so-that not-at-all to-need garrison of-the island the-least indeed
γὰρ ἑνὸς τάγματος χρήζοι ἂν καὶ ἱππικοῦ τινος, ὥστε καὶ
for of-one legion would-need — and cavalry some so-that also
φόρους ἀπάγεσθαι παρ' αὐτῶν, εἰς ἴσον δὲ καθίσταιτ' ἂν
tributes to-be-carried-off from them to equal but would-be-brought —
τὸ ἀνάλωμα τῇ στρατιᾷ τοῖς προσφερομένοις χρήμασιν·
the expense for-the army with-the contributed moneys
ἀνάγκη γὰρ μειοῦσθαι τὰ τέλη φόρων ἐπιβαλλομένων,
necessity for to-be-diminished the duties tributes being-imposed
ἅμα δὲ καὶ κινδύνους ἀπαντᾶν τινας βίας ἐπαγομένης.
at-the-same-time and also dangers to-arise some force being-applied
4 εἰσὶ δὲ καὶ ἄλλαι περὶ τὴν Βρεττανικὴν νῆσοι μικραί·
are and also other about — Britannica islands small
μεγάλη δ' ἡ Ἰέρνη πρὸς ἄρκτον αὐτῇ παραβεβλημένη,
great but — Ierne toward north to-it laid-alongside
προμήκης μᾶλλον πλάτος ἔχουσα. περὶ ἧς οὐδὲν ἔχομεν
oblong rather breadth having about which nothing we-are-able
λέγειν σαφὲς πλὴν ὅτι ἀγριώτεροι τῶν Βρεττανῶν
to-say clear except that wilder than-the Britons
ὑπάρχουσιν οἱ κατοικοῦντες αὐτήν, ἀνθρωποφάγοι τε
are those inhabiting it man-eaters both
ὄντες καὶ πολυφάγοι, τούς τε πατέρας τελευτήσαντας
being and great-eaters the both fathers having-died
κατεσθίειν ἐν καλῷ τιθέμενοι καὶ φανερῶς μίσγεσθαι
to-eat-up in honorable regarding and openly to-have-intercourse
ταῖς τε ἄλλαις γυναιξὶ καὶ μητράσι καὶ ἀδελφαῖς. καὶ
with-the both other women and mothers and sisters also
ταῦτα δ' οὕτω λέγομεν ὡς οὐκ ἔχοντες ἀξιοπίστους
these-things and so we-say as not having trustworthy

μάρτυρας· καίτοι τό γε τῆς ἀνθρωποφαγίας καὶ Σκυθικὸν
witnesses and-yet the at-least of-the man-eating also Scythian
εἶναι λέγεται, καὶ ἐν ἀνάγκαις πολιορκητικαῖς καὶ Κελτοὶ
to-be is-said and in necessities of-siege both Celts
καὶ Ἴβηρες καὶ ἄλλοι πλείους ποιῆσαι τοῦτο λέγονται.
and Iberians and others several to-have-done this are-said
περὶ δὲ τῆς Θούλης ἔτι μᾶλλον ἀσαφὴς ἡ ἱστορία 5
about and — Thule still more unclear the history
διὰ τὸν ἐκτοπισμόν· ταύτην γὰρ τῶν ὀνομαζομένων
because-of the remoteness this for of-the named
ἀρκτικωτάτην τιθέασιν. ἃ δ' εἴρηκε Πυθέας περί τε ταύτης
most-northern they-set what but has-said Pytheas about both this
καὶ τῶν ἄλλων τῶν ταύτῃ τόπων ὅτι μὲν πέπλασται,
and the other of-the here places that indeed has-been-fabricated
φανερὸν ἐκ τῶν γνωριζομένων χωρίων· κατέψευσται γὰρ
plain from the known places has-lied for
αὐτῶν τὰ πλεῖστα, ὥσπερ καὶ πρότερον εἴρηται, ὥστε
about-them the most as also before has-been-said so-that
δῆλός ἐστιν ἐψευσμένος μᾶλλον περὶ τῶν ἐκτετοπισμένων.
clear he-is having-lied more about the remote-places
πρὸς μέντοι τὰ οὐράνια καὶ τὴν μαθηματικὴν θεωρίαν
as-to however the heavenly-things and the mathematical theory
ἱκανῶς δόξει κεχρῆσθαι τοῖς πράγμασι *** τοῖς τῇ
sufficiently will-seem to-have-used the facts (lacuna) to-those to-the
κατεψυγμένῃ ζώνῃ πλησιάζουσι τὸ τῶν καρπῶν εἶναι τῶν
frozen zone approaching the of-the fruits to-be of-the
ἡμέρων καὶ ζῴων τῶν μὲν ἀφορίαν παντελῆ τῶν
cultivated and animals of-the(-ones) indeed barrenness complete of-the(-others)
δὲ σπάνιν, κέγχρῳ δὲ καὶ ἀγρίοις λαχάνοις καὶ καρποῖς
but scarcity with-millet and and wild vegetables and fruits
καὶ ῥίζαις τρέφεσθαι· παρ' οἷς δὲ σῖτος καὶ μέλι γίγνεται,
and roots to-be-nourished among whom and grain and honey occurs

καὶ τὸ πόμα ἐντεῦθεν ἔχειν· τὸν δὲ σῖτον, ἐπειδὴ τοὺς
also the drink from-there to-have the and grain since the
ἡλίους οὐκ ἔχουσι καθαρούς, ἐν οἴκοις μεγάλοις κόπτουσι,
suns not they-have clear in houses great they-thresh
συγκομισθέντων δεῦρο τῶν σταχύων· αἱ γὰρ ἅλως
having-been-brought-together here the ears the for threshing-floors
ἄχρηστοι γίνονται διὰ τὸ ἀνήλιον καὶ τοὺς ὄμβρους.
useless become because-of the sunlessness and the rains

VIII · THE ALPS AND THEIR PEOPLES

The Alps begin not at Monoecus but at Sabata, beside Genua; Ligurians live along the harborless coast, trading flocks, hides, and honey for oil and wine. The Salyes, the first of the Celts beyond the Alps the Romans subdued, blocked the coast road until eighty years of war barely opened it. Strabo names the peoples of the western and central Alps, the Vocontii, Medulli, Taurini, and others, and the sources of the Druentia, the Durias, and the Padus. Augustus put down the robber tribes and built roads where he could, though cliffs and avalanches still endanger travelers. The Salassi, whose gold-washing quarreled with the farmers below, harassed the Romans until Augustus sold them all and founded Augusta.

1 μετὰ δὲ τὴν ὑπὲρ τῶν Ἄλπεων Κελτικὴν καὶ τὰ ἔθνη
after and the beyond the Alps Celtica and the nations
τὰ ἔχοντα τὴν χώραν ταύτην περὶ αὐτῶν τῶν Ἄλπεων
those holding the country this about themselves the Alps
λεκτέον καὶ τῶν κατοικούντων αὐτάς, ἔπειτα περὶ τῆς
one-must-speak and those inhabiting them then about the
συμπάσης Ἰταλίας, φυλάττουσιν ἐν τῇ γραφῇ τὴν αὐτὴν
whole Italy keeping in the description the same
τάξιν ἥνπερ δίδωσιν ἡ τῆς χώρας φύσις. ἄρχονται μὲν
order which-very gives the of-the country nature begin indeed
οὖν αἱ Ἄλπεις οὐκ ἀπὸ Μονοίκου λιμένος, ὡς εἰρήκασί
then the Alps not from Monoecus harbor as have-said

τινες, ἀλλ᾽ ἀπὸ τῶν αὐτῶν χωρίων ἀφ᾽ ὧνπερ καὶ τὰ
some but from the same places from which-very also the
Ἀπέννινα ὄρη κατὰ Γένουαν ἐμπόριον Λιγύων καὶ τὰ
Apennine mountains at Genua emporium of-Ligurians and the
καλούμενα Σαβάτων ὀυάδα, ὅπερ ἐστὶ τενάγη· τὸ μὲν
so-called of-Sabata vada which-very is shoals the indeed
γὰρ Ἀπέννινον ἀπὸ Γενούας, αἱ δὲ Ἄλπεις ἀπὸ τῶν
for Apennine from Genua the but Alps from —
Σαβάτων ἔχουσι τὴν ἀρχήν· στάδιοι δ᾽ εἰσὶ μεταξὺ Γενούας
Sabata have the beginning stades and are between Genua
καὶ Σαβάτων διακόσιοι πρὸς τοῖς ἑξήκοντα· μετὰ
and Sabata two-hundred in-addition-to the sixty after
δὲ τριακοσίους πρὸς τοῖς ἑβδομήκοντα Ἀλβίγγαυνόν
and three-hundred in-addition-to the seventy Albingaunum
ἐστι πόλισμα, οἱ δ᾽ ἐνοικοῦντες Λίγυες Ἴγγαυνοι
is small-town the and inhabiting Ligurians Ingauni
καλοῦνται· ἐντεῦθεν δ᾽ εἰς Μονοίκου λιμένα τετρακόσιοι
are-called from-here and to Monoecus harbor four-hundred
καὶ ὀγδοήκοντα. ἔν τε τῷ μεταξὺ πόλις εὐμεγέθης Ἄλβιον
and eighty in both the between city large Albium
Ἰντεμέλιον καὶ οἱ κατοικοῦντες Ἰντεμέλιοι. καὶ δὴ καὶ
Intemelium and those inhabiting Intemelii and indeed also
σημεῖον τίθενται τοῦ τὴν ἀρχὴν ἀπὸ τῶν Σαβάτων εἶναι
sign they-set of-the the beginning from — Sabata to-be
ταῖς Ἄλπεσιν ἐκ τῶν ὀνομάτων τούτων· τὰ γὰρ Ἄλπεια
for-the Alps from the names these the for Alpeia
καλεῖσθαι πρότερον Ἄλβια, καθάπερ καὶ Ἀλπεινά. καὶ
to-have-been-called formerly Albia as also Alpeina and
γὰρ νῦν ἔτι τὸ ἐν τοῖς Ἰάποσιν ὄρος ὑψηλὸν συνάπτον
for now still the among the Iapodes mountain high joining

πως τῇ Ὄκρᾳ καὶ ταῖς Ἄλπεσιν Ἄλβιον λέγεσθαι, ὡς
somehow to-the Ocra and the Alps Albius to-be-called as
ἂν μέχρι δεῦρο τῶν Ἄλπεων ἐκτεταμένων.
— as-far-as here the Alps being-extended

2 τῶν οὖν Λιγύων τῶν μὲν ὄντων Ἰγγαύνων τῶν δὲ
of-the then Ligurians the(-ones) indeed being Ingauni the(-others) but
Ἰντεμελίων, εἰκότως τὰς ἐποικίας αὐτῶν ἐπὶ τῇ θαλάττῃ
Intemelii fittingly the settlements their on the sea
τὴν μὲν ὀνομάζεσθαι Ἄλβιον Ἰντεμέλιον οἷον Ἄλπειον,
the(-one) indeed to-be-named Albium Intemelium as-it-were Alpine
τὴν δὲ ἐπιτετμημένως μᾶλλον Ἀλβίγγαυνον. Πολύβιος
the(-other) but in-abbreviated-form rather Albingaunum Polybius
δὲ προστίθησι τοῖς δυσὶ φύλοις τῶν Λιγύων τοῖς λεχθεῖσι
but adds to-the two tribes of-the Ligurians the said
τό τε τῶν Ὀξυβίων καὶ τὸ τῶν Δεκιητῶν. ὅλως δὲ ἡ
the both of-the Oxybii and the of-the Deciatae wholly and the
παραλία αὕτη πᾶσα μέχρι Τυρρηνίας ἐκ Μονοίκου λιμένος
coast this all as-far-as Tyrrhenia from Monoecus harbor
προσεχής τέ ἐστι καὶ ἀλίμενος πλὴν βραχέων ὅρμων
exposed both is and harborless except short anchorages
καὶ ἀγκυροβολίων. ὑπέρκεινται δὲ οἱ τῶν ὀρῶν ἐξαίσιοι
and anchoring-places lie-above and the of-the mountains enormous
κρημνοὶ στενὴν ἀπολείποντες πρὸς θαλάττῃ πάροδον.
cliffs narrow leaving at sea passage
κατοικοῦσι δὲ Λίγυες ζῶντες ἀπὸ θρεμμάτων τὸ πλέον
dwell and Ligurians living from flocks the most
καὶ γάλακτος καὶ κριθίνου πόματος, νεμόμενοι τά τε πρὸς
and milk and barley drink inhabiting the both at
θαλάττῃ χωρία καὶ τὸ πλέον τὰ ὄρη. ἔχουσι δ' ὕλην
sea places and the most the mountains they-have and timber
ἐνταῦθα παμπόλλην ναυπηγήσιμον καὶ μεγαλόδενδρον, ὥστ'
there very-much fit-for-shipbuilding and of-great-trees so-that

ἐνίων τοῦ πάχους τὴν διάμετρον ὀκτὼ ποδῶν εὑρίσκεσθαι·
of-some of-the thickness the diameter of-eight feet to-be-found
πολλὰ δὲ καὶ τῇ ποικιλίᾳ τῶν θυΐνων οὐκ ἔστι χείρω
many and also in-the variegation than-the citron-woods not are worse
πρὸς τὰς τραπεζοποιίας. ταῦτά τε δὴ κατάγουσιν εἰς
for the table-making these both indeed they-bring-down to
τὸ ἐμπόριον τὴν Γένουαν καὶ θρέμματα καὶ δέρματα
the emporium — Genua and flocks and hides
καὶ μέλι, ἀντιφορτίζονται δὲ ἔλαιον καὶ οἶνον τὸν ἐκ
and honey they-take-in-exchange and oil and wine the from
τῆς Ἰταλίας· ὁ δὲ παρ᾽ αὐτοῖς ὀλίγος ἐστί, πιττίτης
— Italy the and among them scanty is pitch-flavored
αὐστηρός. ἐντεῦθεν δέ εἰσιν οἱ γίννοι λεγόμενοι ἵπποι
harsh from-here and are the ginni called horses
τε καὶ ἡμίονοι, καὶ οἱ λιγυστῖνοί τε χιτῶνες καὶ σάγοι·
both and mules and the Ligurian both tunics and cloaks
πλεονάζει δὲ καὶ τὸ λιγγούριον παρ᾽ αὐτοῖς, ὅ τινες
abounds and also the lyngurium among them which some
ἤλεκτρον προσαγορεύουσι. στρατεύονται δ᾽ ἱππεῖς μὲν οὐ
amber call they-serve and horsemen indeed not
πάνυ, ὁπλῖται δὲ ἀγαθοὶ καὶ ἀκροβολισταί· ἀπὸ δὲ τοῦ
quite hoplites but good and skirmishers from and the
χαλκάσπιδας εἶναι τεκμαίρονταί τινες Ἕλληνας αὐτοὺς εἶναι.
bronze-shielded to-be conjecture some Greeks them to-be
ὁ δὲ τοῦ Μονοίκου λιμὴν ὅρμος ἐστὶν οὐ μεγάλαις 3
the and — of-Monoecus harbor anchorage is not for-large
οὐδὲ πολλαῖς ναυσίν, ἔχων ἱερὸν Ἡρακλέους Μονοίκου
nor for-many ships having temple of-Heracles Monoecus
καλουμένου· ἔοικε δὲ ἀπὸ τοῦ ὀνόματος καὶ μέχρι
called it-seems and from the name even as-far-as
δεῦρο διατείνειν ὁ Μασσαλιωτικὸς παράπλους· διέχει
here to-extend the Massaliotic coasting-voyage is-distant

δ' Ἀντιπόλεως μικρῷ πλείους ἢ διακοσίους σταδίους.
and from-Antipolis a-little more than two-hundred stades
τοὐντεῦθεν δ' ἤδη μέχρι Μασσαλίας καὶ μικρὸν προσωτέρω
from-here and already as-far-as Massalia and a-little farther
τὸ τῶν Σαλύων ἔθνος οἰκεῖ τὰς Ἄλπεις τὰς ὑπερκειμένας
the of-the Salyes nation inhabits the Alps those lying-above
καί τινα τῆς αὐτῆς παραλίας ἀναμὶξ τοῖς Ἕλλησι.
and some of-the same coast mingled with-the Greeks
καλοῦσι δὲ τοὺς Σάλυας οἱ μὲν παλαιοὶ τῶν Ἑλλήνων
call and the Salyes the indeed old of-the Greeks
Λίγυας καὶ τὴν χώραν, ἣν ἔχουσιν οἱ Μασσαλιῶται,
Ligurians and the country which hold the Massaliotes
Λιγυστικήν, οἱ δ' ὕστερον Κελτολίγυας ὀνομάζουσι, καὶ
Ligustice the but later Celtoligurians name and
τὴν μέχρι Αὐενίωνος καὶ τοῦ Ῥοδανοῦ πεδιάδα τούτοις
the as-far-as Avennio and the Rhodanus plain to-these
προσνέμουσιν, ἀφ' ἧς οὐ πεζὴν μόνον ἀλλὰ καὶ ἱππικὴν
assign from which not infantry only but also cavalry
ἔστελλον στρατιάν, εἰς δέκα μέρη διῃρημένοι. πρώτους δ'
they-sent army into ten parts divided first and
ἐχειρώσαντο Ῥωμαῖοι τούτους τῶν ὑπεραλπείων Κελτῶν,
subdued Romans these of-the beyond-the-Alps Celts
πολὺν χρόνον πολεμήσαντες καὶ τούτοις καὶ τοῖς Λίγυσιν,
long time having-warred both with-these and with-the Ligurians
ἀποκεκλεικόσι τὰς εἰς τὴν Ἰβηρίαν παρόδους τὰς διὰ
having-shut-off the to — Iberia passages those through
τῆς παραλίας. καὶ γὰρ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν
the coast and for both by land and by sea
ἐλῄζοντο καὶ τοσοῦτον ἴσχυον ὥστε μόλις στρατοπέδοις
they-plundered and so-much they-prevailed so-that hardly for-armies
μεγάλοις πορευτὴν εἶναι τὴν ὁδόν. ὀγδοηκοστὸν δ' ἔτος
great passable to-be the road eightieth and year

πολεμοῦντες διεπράξαντο μόλις ὥστ᾽ ἐπὶ δώδεκα σταδίους
warring they-accomplished hardly so-that for twelve stades
τὸ πλάτος ἀνεῖσθαι τὴν ὁδὸν τοῖς ὁδεύουσι δημοσίᾳ.
in-the breadth to-be-left-open the road for-those traveling on-public-business
μετὰ ταῦτα μέντοι κατέλυσαν ἅπαντας καὶ διέταξαν
after these-things however they-put-down all and arranged
αὐτοὶ τὰς πολιτείας, ἐπιστήσαντες φόβον.
themselves the constitutions having-set-over fear
μετὰ δὲ τοὺς Σάλυας Ἀλβιεῖς καὶ Ἀλβίοικοι καὶ Οὐοκόντιοι 4
after and the Salyes Albienses and Albioeci and Vocontii
νέμονται τὰ προσάρκτια μέρη τῶν ὀρῶν. παρατείνουσι
inhabit the northern parts of-the mountains extend
δὲ οἱ Οὐοκόντιοι μέχρι Ἀλλοβρίγων, ἔχοντες αὐλῶνας
and the Vocontii as-far-as Allobroges having valleys
ἐν βάθει τῆς ὀρεινῆς ἀξιολόγους καὶ οὐ χείρους
in depth of-the mountain-country considerable and not worse
ὧν ἔχουσιν ἐκεῖνοι. Ἀλλόβριγες μὲν οὖν καὶ Λίγυες
than-those-which have those Allobroges indeed then and Ligurians
ὑπὸ τοῖς στρατηγοῖς τάττονται τοῖς ἀφικνουμένοις εἰς
under the praetors are-ranked those arriving into
τὴν Ναρβωνῖτιν, Οὐοκόντιοι δέ, καθάπερ τοὺς Οὐόλκας
— Narbonitis Vocontii but as the Volcae
ἔφαμεν τοὺς περὶ Νέμαυσον, τάττονται καθ᾽ αὑτούς. τῶν
we-said those about Nemausus are-ranked by themselves of-the
δὲ μεταξὺ τοῦ Οὐάρου καὶ τῆς Γενούας Λιγύων οἱ
and between the Varus and — Genua Ligurians the(-ones)
μὲν ἐπὶ τῇ θαλάττῃ τοῖς Ἰταλιώταις εἰσὶν οἱ αὐτοί,
indeed on the sea with-the Italiotes are the same
ἐπὶ δὲ τοὺς ὀρεινοὺς πέμπεταί τις ὕπαρχος τῶν ἱππικῶν
to but the mountaineers is-sent some prefect of-the equestrian
ἀνδρῶν, καθάπερ καὶ ἐπ᾽ ἄλλους τῶν τελέως βαρβάρων.
men as also to others of-the completely barbarians

μετὰ δὲ Οὐοκοντίους Ἰκόνιοι καὶ Τρικόριοι καὶ μετ᾽ αὐτοὺς
after and Vocontii Iconii and Tricorii and after them
Μέδουλλοι, οἵπερ τὰς ὑψηλοτάτας ἔχουσι κορυφάς· τὸ γοῦν
Medulli who-very the highest have peaks the at-least
ὀρθιώτατον αὐτῶν ὕψος σταδίων ἑκατὸν ἔχειν φασὶ τὴν
steepest of-them height of-stades a-hundred to-have they-say the
ἀνάβασιν, κἀνθένδε πάλιν τὴν ἐπὶ τοὺς ὅρους τοὺς τῆς
ascent and-from-here again the to the boundaries those —
Ἰταλίας κατάβασιν. ἄνω δ᾽ ἔν τισι κοίλοις χωρίοις λίμνη
of-Italy descent above and in some hollow places lake
τε συνίσταται μεγάλη καὶ πηγαὶ δύο οὐ πολὺ ἄπωθεν
both forms great and springs two not far off
ἀλλήλων, ὧν ἐκ μὲν τῆς ἑτέρας εἶσιν ὁ Δρουεντίας
from-one-another of-which from indeed the one goes-out the Druentia
ποταμὸς χαραδρώδης, ὃς ἐπὶ τὸν Ῥοδανὸν καταράττει,
river torrential which to the Rhodanus dashes-down
καὶ ὁ Δουρίας εἰς τἀναντία· τῷ γὰρ Πάδῳ
and the Durias into the-opposite-direction with-the for Padus
συμμίσγει κατενεχθεὶς διὰ Σαλασσῶν εἰς τὴν ἐντὸς τῶν
mingles borne-down through Salassi into the inside the
Ἄλπεων Κελτικήν· ἐκ δὲ τῆς ἑτέρας πολὺ ταπεινότερος
Alps Celtica from but the other much lower
τούτων τῶν χωρίων ἀναδίδωσιν αὐτὸς ὁ Πάδος πολύς
than-these the places sends-up itself the Padus great
τε καὶ ὀξύς, προϊὼν δὲ γίνεται μείζων καὶ πραότερος·
both and swift advancing and becomes greater and gentler
ἐκ πολλῶν γὰρ λαμβάνει τὴν αὔξησιν ἐν τοῖς πεδίοις
from many for it-receives the increase in the plains
ἤδη γενόμενος καὶ πλατύνεται· τῇ οὖν διαχύσει περισπᾷ
already having-come and widens by-the then spreading it-diverts
καὶ ἀμβλύνει τὸν ῥοῦν· εἰς δὲ τὴν Ἀδριατικὴν θάλατταν
and blunts the current into and the Adriatic sea

ἐκπίπτει μέγιστος γενόμενος τῶν κατὰ τὴν Εὐρώπην
it-falls-out greatest having-become of-the in — Europe
ποταμῶν πλὴν τοῦ Ἴστρου. ὑπέρκεινται δ' οἱ Μέδουλλοι
rivers except the Ister lie-above and the Medulli
μάλιστα τῆς συμβολῆς τοῦ Ἴσαρος πρὸς τὸν Ῥοδανόν.
most-of-all the confluence of-the Isar with the Rhodanus
Ἐπὶ δὲ θάτερα μέρη τὰ πρὸς τὴν Ἰταλίαν κεκλιμένα 6
on and the-other parts those toward — Italy sloping
τῆς λεχθείσης ὀρεινῆς Ταυρῖνοί τε οἰκοῦσι Λιγυστικὸν
of-the said mountain-country Taurini both dwell Ligurian
ἔθνος καὶ ἄλλοι Λίγυες. τούτων δ' ἐστὶ καὶ ἡ τοῦ Δόννου
nation and other Ligurians of-these and is also the — of-Donnus
λεγομένη γῆ καὶ ἡ τοῦ Κοττίου. μετὰ δὲ τούτους καὶ
called land and the — of-Cottius after and these and
τὸν Πάδον Σαλασσοί· ὑπὲρ δὲ τούτων ἐν ταῖς κορυφαῖς
the Padus Salassi above and these in the peaks
Κέντρωνες καὶ Κατόριγες καὶ Οὐάραγροι καὶ Ναντουᾶται
Centrones and Catoriges and Varagri and Nantuates
καὶ ἡ Λημέννα λίμνη, δι' ἧς ὁ Ῥοδανὸς φέρεται, καὶ
and the Lemenna lake through which the Rhodanus is-borne and
ἡ πηγὴ τοῦ ποταμοῦ. οὐκ ἄπωθεν δὲ τούτων οὐδὲ τοῦ
the source of-the river not far and from-these nor of-the
Ῥήνου αἱ πηγαί, οὐδ' ὁ Ἀδούλας τὸ ὄρος, ἐξ οὗ ῥεῖ
Rhenus the sources nor the Adula the mountain from which flows
καὶ ὁ Ῥῆνος ἐπὶ τὰς ἄρκτους καὶ ὁ Ἀδούας εἰς τἀναντία
both the Rhenus toward the north and the Aduas into the-opposite
ἐμβάλλων εἰς τὴν Λάριον λίμνην τὴν πρὸς τῷ Κώμῳ.
emptying into the Larius lake the(-one) by — Comum
ὑπέρκεινται δὲ τοῦ Κώμου πρὸς τῇ ῥίζῃ τῶν Ἄλπεων
lie-above and — Comum at the root of-the Alps
ἱδρυμένου τῇ μὲν Ῥαιτοὶ καὶ Οὐέννωνες ἐπὶ τὴν ἕω
set on-one-side indeed Rhaeti and Vennones toward the east

κεκλιμένοι, τῇ δὲ Λεπόντιοι καὶ Τριδεντῖνοι καὶ Στόνοι
sloping on-the-other but Lepontii and Tridentini and Stoni
καὶ ἄλλα πλείω μικρὰ ἔθνη κατέχοντα τὴν Ἰταλίαν ἐν
and other more small nations holding — Italy in
τοῖς πρόσθεν χρόνοις λῃστρικὰ καὶ ἄπορα· νυνὶ δὲ τὰ
the former times predatory and resourceless now but the(-ones)
μὲν ἐξέφθαρται τὰ δ' ἡμέρωται τελέως, ὥστε τὰς
indeed have-been-destroyed the(-others) but have-been-tamed completely so-that the
δι' αὐτῶν ὑπερβολὰς τοῦ ὄρους πρότερον οὔσας ὀλίγας
through them passes of-the mountain formerly being few
καὶ δυσπεράτους νυνὶ πολλαχόθεν εἶναι καὶ ἀσφαλεῖς ἀπὸ
and hard-to-cross now from-many-sides to-be and safe from
τῶν ἀνθρώπων καὶ εὐβάτους, ὡς ἔνεστι, διὰ τὴν
the men and easy-to-travel as it-is-possible because-of the
κατασκευήν. προσέθηκε γὰρ ὁ Σεβαστὸς Καῖσαρ τῇ
construction added for — Augustus Caesar to-the
καταλύσει τῶν λῃστῶν τὴν κατασκευὴν τῶν ὁδῶν ὅσην
putting-down of-the robbers the construction of-the roads as-much-as
οἷόν τ' ἦν· οὐ γὰρ δυνατὸν πανταχοῦ βιάσασθαι τὴν
possible — was not for possible everywhere to-force the
φύσιν διὰ πετρῶν καὶ κρημνῶν ἐξαισίων, τῶν μὲν
nature because-of rocks and cliffs enormous the(-ones) indeed
ὑπερκειμένων τῆς ὁδοῦ τῶν δ' ὑποπιπτόντων, ὥστε
lying-above the road the(-others) but lying-below so-that
καὶ μικρὸν ἐκβᾶσιν ἄφυκτον εἶναι τὸν κίνδυνον, εἰς
even a-little for-those-stepping-out inescapable to-be the danger into
φάραγγας ἀβύσσους τοῦ πτώματος ὄντος. οὕτω δέ ἐστι
chasms bottomless the fall being so and is
στενὴ κατά τι αὐτοῦ ἡ ὁδὸς ὥστ' ἴλιγγον φέρειν τοῖς
narrow at some-point of-it the road so-that dizziness to-bring to-those
πεζῇ βαδίζουσι καὶ αὐτοῖς καὶ ὑποζυγίοις τοῖς ἀήθεσι·
on-foot walking both themselves and to-beasts-of-burden those unaccustomed

τὰ δ' ἐπιχώρια κομίζει τοὺς φόρτους ἀσφαλῶς. οὔτ'
the but native carry the loads safely neither
οὖν ταῦτα ἰάσιμα οὔθ' αἱ κατολισθάνουσαι πλάκες τῶν
then these-things curable nor the sliding-down slabs of-the
κρυστάλλων ἄνωθεν ἐξαίσιοι, συνοδίαν ὅλην ἀπολαμβάνειν
ice from-above enormous caravan whole to-cut-off
δυνάμεναι καὶ συνεξωθεῖν εἰς τὰς ὑποπιπτούσας φάραγγας.
able and to-push-out-with into the lying-below chasms
πολλαὶ γὰρ ἀλλήλαις ἐπίκεινται πλάκες, πάγων ἐπὶ
many for on-one-another lie slabs frosts on
πάγοις γενομένων τῆς χιόνος κρυσταλλωδῶν καὶ τῶν
frosts having-come of-the snow ice-like and of-those
ἐπιπολῆς ἀεὶ ῥᾳδίως ἀπολυομένων ἀπὸ τῶν ἐντὸς πρὶν
on-the-surface always easily being-loosed from those inside before
διαλυθῆναι τελέως ἐν τοῖς ἡλίοις.
to-be-dissolved completely in the suns
ἡ δὲ τῶν Σαλασσῶν πολλὴ μέν ἐστιν ἐν αὐλῶνι βαθεῖ 7
the and of-the Salassi large indeed is in valley deep
τῶν ὀρῶν ἀμφοτέρωθεν κλειόντων τὸ χωρίον, μέρος δέ
the mountains on-both-sides shutting-in the place part but
τι αὐτῶν ἀνατείνει καὶ πρὸς τὰς ὑπερκειμένας κορυφάς.
some of-them stretches-up also to the lying-above peaks
τοῖς οὖν ἐκ τῆς Ἰταλίας ὑπερτιθεῖσι τὰ ὄρη διὰ τοῦ
for-those then from — Italy crossing the mountains through the
λεχθέντος αὐλῶνός ἐστιν ἡ ὁδός. εἶτα σχίζεται δίχα· καὶ
said valley is the road then it-is-split in-two and
ἡ μὲν διὰ τοῦ Ποινίνου λεγομένου φέρεται ζεύγεσιν
the(-one) indeed through the Poeninus called is-borne for-carriages
οὐ βατὴ κατὰ τὰ ἄκρα τῶν Ἄλπεων, ἡ δὲ διὰ
not passable over the heights of-the Alps the(-other) but through
Κεντρώνων δυσμικωτέρα. ἔχει δὲ καὶ χρυσεῖα ἡ τῶν
Centrones more-westerly has and also gold-mines the of-the

Σαλασσῶν, ἃ κατεῖχον ἰσχύοντες οἱ Σαλασσοὶ πρότερον,
Salassi which held being-strong the Salassi formerly
καθάπερ καὶ τῶν παρόδων ἦσαν κύριοι. προσελάμβανε δὲ
as also of-the passes they-were masters contributed and
πλεῖστον εἰς τὴν μεταλλείαν αὐτοῖς ὁ Δουρίας ποταμὸς εἰς
most to the mining for-them the Durias river to
τὰ χρυσοπλύσια, διόπερ ἐπὶ πολλοὺς τόπους σχίζοντες εἰς
the gold-washings wherefore into many places splitting into
τὰς ἐξοχετείας τὸ ὕδωρ τὸ κοινὸν ῥεῖθρον ἐξεκένουν. τοῦτο
the channels the water the common channel they-emptied this
δ' ἐκείνοις μὲν συνέφερε πρὸς τὴν τοῦ χρυσοῦ θήραν,
and to-those indeed was-advantageous for the of-the gold hunt
τοὺς δὲ γεωργοῦντας τὰ ὑπ' αὐτοῖς πεδία τῆς ἀρδείας
those but farming the under them plains of-the irrigation
στερομένους ἐλύπει, τοῦ ποταμοῦ δυναμένου ποτίζειν τὴν
being-deprived it-grieved the river being-able to-water the
χώραν διὰ τὸ ὑπερδέξιον ἔχειν τὸ ῥεῖθρον. ἐκ δὲ
country because-of the higher-ground having the channel from and
ταύτης τῆς αἰτίας πόλεμοι συνεχεῖς ἦσαν πρὸς ἀλλήλους
this the cause wars continual were with one-another
ἀμφοτέροις τοῖς ἔθνεσι. κρατησάντων δὲ Ῥωμαίων τῶν
for-both the nations having-prevailed and Romans from-the
μὲν χρυσουργείων ἐξέπεσον καὶ τῆς χώρας οἱ Σαλασσοί,
indeed gold-works were-cast-out and from-the country the Salassi
τὰ δ' ὄρη κατέχοντες ἀκμὴν τὸ ὕδωρ ἐπώλουν τοῖς
the but mountains holding still the water sold to-the
δημοσιώναις τοῖς ἐργολαβήσασι τὰ χρυσεῖα· καὶ πρὸς
publicans those having-contracted-for the gold-mines and with
τούτους δ' ἦσαν ἀεὶ διαφοραὶ διὰ τὴν πλεονεξίαν
these and were always disputes because-of the greed
τῶν δημοσιωνῶν. οὕτω δὲ συνέβαινε τοὺς στρατηγιῶντας
of-the publicans so and it-happened those commanding

ἀεὶ τῶν Ῥωμαίων καὶ πεμπομένους ἐπὶ τοὺς τόπους
always of-the Romans and sent to the places
εὐπορεῖν προφάσεων ἀφ᾽ ὧν πολεμήσουσι. μέχρι μὲν
to-abound-in pretexts from which they-will-make-war until indeed
δὴ τῶν νεωστὶ χρόνων τοτὲ μὲν πολεμούμενοι
indeed the recent times at-one-time indeed being-warred-on
τοτὲ δὲ καταλυόμενοι τὸν πρὸς τοὺς Ῥωμαίους πόλεμον
at-another but being-put-down the against the Romans war
ἴσχυον ὅμως, καὶ πολλὰ κατέβλαπτον τοὺς δι᾽ αὐτῶν
prevailed nevertheless and much damaged those through them
ὑπερβάλλοντας τὰ ὄρη κατὰ τὸ λῃστρικὸν ἔθος· οἵ γε
crossing the mountains in the predatory custom who indeed
καὶ Δέκιμον Βροῦτον φυγόντα ἐκ Μουτίνης ἐπράξαντο
also Decimus Brutus fleeing from Mutina exacted
δραχμὴν κατ᾽ ἄνδρα· Μεσσάλας δὲ πλησίον αὐτῶν
drachma per man Messala and near them
χειμαδεύων τιμὴν ξύλων κατέβαλε τῶν τε καυσίμων
wintering price for-wood paid of-the both fuel
καὶ τῶν πτελεΐνων ἀκοντισμάτων τῶν γυμναστικῶν.
and of-the elm javelins those for-exercise
ἐσύλησαν δέ ποτε καὶ χρήματα Καίσαρος οἱ ἄνδρες
robbed and once also moneys of-Caesar the men
οὗτοι καὶ ἐπέβαλον κρημνοὺς στρατοπέδοις, πρόφασιν ὡς
these and threw-down cliffs on-armies pretext as
ὁδοποιοῦντες ἢ γεφυροῦντες ποταμούς. ὕστερον μέντοι
making-roads or bridging rivers later however
κατεστρέψατο αὐτοὺς ἄρδην ὁ Σεβαστὸς καὶ πάντας
subdued them utterly — Augustus and all
ἐλαφυροπώλησε, κομισθέντας εἰς Ἐποredίαν Ῥωμαίων
sold-as-spoils having-been-brought to Eporedia of-Romans
ἀποικίαν, ἣν συνῴκισαν μὲν φρουρὰν εἶναι βουλόμενοι
colony which they-settled indeed garrison to-be wishing

τοῖς Σαλασσοῖς, ὀλίγον δ' ἀντέχειν ἐδύναντο οἱ αὐτόθι,
against-the Salassi a-little but to-hold-out were-able those there
ἕως ἠφανίσθη τὸ ἔθνος. τῶν μὲν οὖν ἄλλων σωμάτων
until was-wiped-out the nation of-the indeed then other persons
τρεῖς μυριάδες ἐξητάσθησαν ἐπὶ τοῖς ἑξακισχιλίοις,
three myriads were-counted in-addition-to the six-thousand
τῶν δὲ μαχίμων ἀνδρῶν ὀκτακισχίλιοι· πάντας δ'
of-the and fighting men eight-thousand all and
ἐπώλησε Τερέντιος Οὐάρρων ὑπὸ δόρυ καταστρεψάμενος
sold Terentius Varro under spear having-subdued
αὐτοὺς στρατηγός· τρισχιλίους δὲ Ῥωμαίων πέμψας ᾤκισε
them general three-thousand and of-Romans having-sent settled
τὴν πόλιν Αὐγοῦσταν ὁ Καῖσαρ, ἐν ᾧ ἐστρατοπέδευσε
the city Augusta — Caesar in which encamped
χωρίῳ ὁ Οὐάρρων, καὶ νῦν εἰρήνην ἄγει πᾶσα ἡ
place — Varro and now peace keeps all the
πλησιόχωρος μέχρι τῶν ἄκρων ὑπερβολῶν τοῦ ὄρους.
neighboring-country as-far-as the topmost passes of-the mountain

Farther east live the Rhaeti and Vindelici, whose robbers killed even unborn male children; Tiberius and Drusus stopped these peoples' raids in one summer, and they have paid tribute for thirty-three years. The Alps then branch toward Illyris and the Adrias, with the Iapodes, worn down by Augustus, and the Ocra, the lowest part, by which goods go from Aquileia to Nauportus and down the rivers to the Ister. Two passes run through the Salassi toward Lugdunum, from which Agrippa cut four roads. Polybius tells of a strange Alpine beast and a rich gold find among the Taurisci, sets the Alps above the mountains of Greece and Thrace, and names four passes and the great lakes Benacus, Larius, and Verbanus.

ἑξῆς δὲ τὰ πρὸς ἕω μέρη τῶν ὀρῶν καὶ τὰ ἐπιστρέφοντα 8
next and the toward east parts of-the mountains and those turning
πρὸς νότον Ῥαιτοὶ καὶ Οὐινδολικοὶ κατέχουσι συνάπτοντες
toward south Rhaeti and Vindelici hold joining
Ἐλουητττίοις καὶ Βοΐοις· ἐπίκεινται γὰρ τοῖς ἐκείνων πεδίοις.
with-Helvetii and Boii they-lie-over for the of-those plains
οἱ μὲν οὖν Ῥαιτοὶ μέχρι τῆς Ἰταλίας καθήκουσι τῆς ὑπὲρ
the indeed then Rhaeti as-far-as — Italy extend the beyond
Οὐήρωνος καὶ Κώμου. καὶ ὅ γε Ῥαιτικὸς οἶνος τῶν
Verona and Comum and the at-least Rhaetic wine than-those
ἐν τοῖς Ἰταλικοῖς ἐπαινουμένων οὐκ ἀπολείπεσθαι δοκῶν ἐν
in the Italian praised not to-fall-short seeming in
ταῖς τούτων ὑπωρείαις γίνεται· διατείνουσι δὲ καὶ μέχρι τῶν
the of-these foothills is-produced they-stretch and also as-far-as the
χωρίων δι' ὧν ὁ Ῥῆνος φέρεται· τούτου δ' εἰσὶ τοῦ φύλου
places through which the Rhenus is-borne of-this and are the stock
καὶ Λεπόντιοι καὶ Καμοῦνοι. οἱ δὲ Οὐινδολικοὶ καὶ Νωρικοὶ
also Lepontii and Camuni the and Vindelici and Norici
τὴν ἐκτὸς παρώρειαν κατέχουσι τὸ πλέον μετὰ Βρεύνων καὶ
the outer mountain-side hold the most with Breuni and

Γεναύνων, ἤδη τούτων Ἰλλυριῶν. ἅπαντες δ' οὗτοι καὶ τῆς
Genauni already these Illyrians all and these also —
Ἰταλίας τὰ γειτονεύοντα μέρη κατέτρεχον ἀεὶ καὶ τῆς
of-Italy the neighboring parts overran always and of-the(-land)
Ἑλουητττίων καὶ Σηκοανῶν καὶ Βοΐων καὶ Γερμανῶν.
of-Helvetii and Sequani and Boii and Germans
ἰταμώτατοι δὲ τῶν μὲν Οὐινδολικῶν ἐξητάζοντο Λικάττιοι
most-reckless and of-the indeed Vindelici were-reckoned Licattii
καὶ Κλαυτηνάτιοι καὶ Οὐέννωνες, τῶν δὲ Ῥαιτῶν Ῥουκάντιοι
and Clautenatii and Vennones of-the but Rhaeti Rucantii
καὶ Κωτουάντιοι. καὶ οἱ Ἐστίωνες δὲ τῶν Οὐινδολικῶν
and Cotuantii and the Estiones and of-the Vindelici
εἰσὶ καὶ Βριγάντιοι, καὶ πόλεις αὐτῶν Βριγάντιον καὶ
are also Brigantii and cities their Brigantium and
Καμβόδουνον καὶ ἡ τῶν Λικαττίων ὥσπερ ἀκρόπολις
Cambodunum and the of-the Licattii as-it-were acropolis
Δαμασία. τῆς δὲ πρὸς τοὺς Ἰταλιώτας τῶν ληστῶν
Damasia of-the and toward the Italiotes of-the robbers
τούτων χαλεπότητος λέγεταί τι τοιοῦτον ὡς, ἐπειδὰν
these harshness is-told something such that whenever
ἕλωσι κώμην ἢ πόλιν οὐ μόνον ἡβηδὸν ἀνδροφονοῦντας,
they-take village or city not only from-youth-up murdering
ἀλλὰ καὶ μέχρι τῶν νηπίων προϊόντας τῶν ἀρρένων, καὶ
but even as-far-as the infants going of-the males and
μηδ' ἐνταῦθα παυομένους, ἀλλὰ καὶ τὰς ἐγκύους γυναῖκας
not-even there stopping but also the pregnant women
κτείνοντας ὅσας φαῖεν οἱ μάντεις ἀρρενοκυεῖν.
killing as-many-as might-say the seers to-be-pregnant-with-males
9 μετὰ δὲ τούτους οἱ ἐγγὺς ἤδη τοῦ Ἀδριατικοῦ μυχοῦ καὶ
after and these those near already the Adriatic recess and
τῶν κατὰ Ἀκυληίαν τόπων οἰκοῦσι, Νωρικῶν τέ τινες καὶ
the about Aquileia places dwell of-Norici both some and

Κάρνοι· τῶν δὲ Νωρικῶν εἰσι καὶ οἱ Ταυρίσκοι. πάντας δ'
Carni of-the and Norici are also the Taurisci all and
ἔπαυσε τῶν ἀνέδην καταδρομῶν Τιβέριος καὶ ὁ ἀδελφὸς
stopped from-the unrestrained raids Tiberius and the brother
αὐτοῦ Δροῦσος θερείᾳ μιᾷ, ὥστ' ἤδη τρίτον καὶ τριακοστὸν
his Drusus in-summer one so-that already third and thirtieth
ἔτος ἐστὶν ἐξ οὗ καθ' ἡσυχίαν ὄντες ἀπευτακτοῦσι τοὺς
year it-is from which in quiet being they-pay-regularly the
φόρους. κατὰ πᾶσαν δὲ τὴν τῶν Ἄλπεων ὀρεινὴν ἔστι
tributes in all and the of-the Alps mountain-country there-are
μὲν καὶ γεώλοφα χωρία καλῶς γεωργεῖσθαι δυνάμενα καὶ
indeed also hilly places well to-be-farmed able and
αὐλῶνες εὖ συνεκτισμένοι, τὸ μέντοι πλέον καὶ μάλιστα
valleys well settled the however most and especially
περὶ τὰς κορυφάς, περὶ ὃ δὴ καὶ συνίσταντο οἱ λῃσταί,
about the peaks about which indeed also gathered the robbers
λυπρὸν καὶ ἄκαρπον διά τε τὰς πάχνας καὶ τὴν
poor and barren because-of both the frosts and the
τραχύτητα τῆς γῆς. κατὰ σπάνιν οὖν τροφῆς τε καὶ ἄλλων
roughness of-the land in scarcity then of-food both and other-things
ἐφείδοντο ἔσθ' ὅτε τῶν ἐν τοῖς πεδίοις, ἵν' ἔχοιεν
they-spared it-is when those in the plains so-that they-might-have
χορηγούς· ἀντεδίδοσαν δὲ ῥητίνην πίτταν δᾷδα κηρὸν
suppliers they-gave-in-exchange and resin pitch torch-pine wax
τυρὸν μέλι· τούτων γὰρ εὐπόρουν. ὑπέρκειται δὲ τῶν
cheese honey of-these for they-abounded lies-above and the
Κάρνων τὸ Ἀπέννινον ὄρος, λίμνην ἔχον ἐξιεῖσαν εἰς τὸν
Carni the Apennine mountain lake having issuing into the
Ἄτησῖνον ποταμόν, ὃς παραλαβὼν Ἄταγιν ἄλλον ποταμὸν
Atesinus river which having-taken-in Atagis another river
εἰς τὸν Ἀδρίαν ἐκβάλλει. ἐκ δὲ τῆς αὐτῆς λίμνης καὶ ἄλλος
into the Adrias empties from and the same lake also another

ποταμὸς εἰς τὸν Ἴστρον ῥεῖ, καλούμενος Ἰσάρας. καὶ γὰρ
river into the Ister flows called Isaras and for
ὁ Ἴστρος τὰς ἀρχὰς ἀπὸ τούτων λαμβάνει τῶν ὀρῶν
the Ister the beginnings from these takes the mountains
πολυσχιδῶν ὄντων καὶ πολυκεφάλων. μέχρι μὲν γὰρ δεῦρο
many-cleft being and many-headed as-far-as indeed for here
ἀπὸ τῆς Λιγυστικῆς συνεχῆ τὰ ὑψηλὰ τῶν Ἄλπεων διέτεινε
from — Liguria continuous the heights of-the Alps extended
καὶ ἑνὸς ὄρους φαντασίαν παρεῖχεν, εἶτ' ἀνεθέντα καὶ
and of-one mountain appearance presented then relaxed and
ταπεινωθέντα ἐξαίρεται πάλιν εἰς πλείω μέρη καὶ πλείους
lowered rises again into more parts and more
κορυφάς. πρώτη δ' ἐστὶ τούτων ἡ τοῦ Ῥήνου πέραν καὶ τῆς
peaks first and is of-these the of-the Rhenus beyond and the
λίμνης κεκλιμένη πρὸς ἕω ῥάχις μετρίως ὑψηλή, ὅπου αἱ τοῦ
lake sloping toward east ridge moderately high where the of-the
Ἴστρου πηγαὶ πλησίον Σοήβων καὶ τοῦ Ἑρκυνίου δρυμοῦ·
Ister sources near Suebi and the Hercynian forest
ἄλλαι δ' εἰσὶν ἐπιστρέφουσαι πρὸς τὴν Ἰλλυρίδα καὶ τὸν
others and are turning toward — Illyris and the
Ἀδρίαν, ὧν ἐστι τό τε Ἀπέννινον ὄρος τὸ λεχθὲν καὶ τὸ
Adrias of-which is the both Apennine mountain the said and the
Τοῦλλον καὶ Φλιγαδία, τὰ ὑπερκείμενα τῶν Οὐινδολικῶν, ἐξ
Tullum and Phligadia those lying-above the Vindelici from
ὧν ὁ Δούρας καὶ Κλάνις καὶ ἄλλοι πλείους χαραδρώδεις
which the Duras and Clanis and others several torrential
ποταμοὶ συμβάλλουσιν εἰς τὸ τοῦ Ἴστρου ῥεῖθρον.
rivers empty into the of-the Ister stream
καὶ οἱ Ἰάποδες δὲ ἤδη τοῦτο ἐπίμικτον Ἰλλυριοῖς καὶ
and the Iapodes and already this mixed with-Illyrians and
Κελτοῖς ἔθνος περὶ τούτους οἰκοῦσι τοὺς τόπους, καὶ ἡ
Celts nation about these dwell the places and the

Ὄκρα πλησίον τούτων ἐστίν. οἱ μὲν οὖν Ἰάποδες πρότερον
Ocra near these is the indeed then Iapodes formerly
εὐανδροῦντες καὶ τοῦ ὄρους ἐφ᾽ ἑκάτερον τὴν οἴκησιν
abounding-in-men and of-the mountain on each-side the dwelling
ἔχοντες καὶ τοῖς λῃστηρίοις ἐπικρατοῦντες, ἐκπεπόνηνται
having and by-the robber-bands prevailing have-been-worn-out
τελέως ὑπὸ τοῦ Σεβαστοῦ Καίσαρος καταπολεμηθέντες.
completely by — Augustus Caesar having-been-warred-down
πόλεις δ᾽ αὐτῶν Μέτουλον Ἀρουπῖνοι Μονήτιον Οὐένδων.
cities and their Metulum Arupini Monetium Vendo
μεθ᾽ οὓς ἡ Σεγεστικὴ πόλις ἐν πεδίῳ, παρ᾽ ἣν ὁ Σάος
after whom — Segestica city in plain past which the Saus
παραρρεῖ ποταμὸς ἐκδιδοὺς εἰς τὸν Ἴστρον. κεῖται δὲ
flows-past river emptying into the Ister lies and
ἡ πόλις εὐφυῶς πρὸς τὸν κατὰ τῶν Δακῶν πόλεμον·
the city conveniently for the against the Dacians war
ἡ δ᾽ Ὄκρα τὸ ταπεινότατον μέρος τῶν Ἄλπεών ἐστι
the and Ocra the lowest part of-the Alps is
καθ᾽ ὃ συνάπτουσι τοῖς Κάρνοις, καὶ δι᾽ οὗ τὰ
at which they-join with-the Carni and through which the
ἐκ τῆς Ἀκυληίας φορτία κομίζουσιν ἁρμαμάξαις εἰς τὸν
from — Aquileia cargoes they-convey by-wagons to the
καλούμενον Ναύπορτον, σταδίων ὁδὸν οὐ πολὺ πλειόνων ἢ
called Nauportus of-stades road not much more than
τετρακοσίων· ἐκεῖθεν δὲ τοῖς ποταμοῖς κατάγεται μέχρι
four-hundred from-there and by-the rivers it-is-carried-down as-far-as
τοῦ Ἴστρου καὶ τῶν ταύτῃ χωρίων. παραρρεῖ γὰρ δὴ τὸν
the Ister and the here places flows-past for indeed —
Ναύπορτον ποταμὸς ἐκ τῆς Ἰλλυρίδος φερόμενος πλωτός,
Nauportus river from — Illyris borne navigable
ἐκβάλλει δ᾽ εἰς τὸν Σάον, ὥστ᾽ εὐμαρῶς εἰς τὴν Σεγεστικὴν
empties and into the Saus so-that easily into — Segestica

κατάγεται καὶ τοὺς Παννονίους καὶ Ταυρίσκους. συμβάλλει
it-is-carried-down and the Pannonii and Taurisci empties
δ' εἰς τὸν Σάον κατὰ τὴν πόλιν καὶ ὁ Κόλαπις· ἀμφότεροι
and into the Saus at the city also the Colapis both
δ' εἰσὶ πλωτοί, ῥέουσι δ' ἀπὸ τῶν Ἄλπεων. ἔχουσι δ' αἱ
and are navigable they-flow and from the Alps have and the
Ἄλπεις καὶ ἵππους ἀγρίους καὶ βόας. φησὶ δὲ Πολύβιος
Alps also horses wild and oxen says and Polybius
καὶ ἰδιόμορφόν τι γεννᾶσθαι ζῷον ἐν αὐταῖς ἐλαφοειδὲς
also peculiar-in-form some to-be-born animal in them deer-like
τὸ σχῆμα πλὴν αὐχένος καὶ τριχώματος, ταῦτα δ'
in-the shape except neck and hair these and
ἐοικέναι κάπρῳ, ὑπὸ δὲ τῷ γενείῳ πυρῆνα ἴσχειν ὅσον
to-resemble to-a-boar under and the chin kernel to-have as-much-as
σπιθαμιαῖον ἀκρόκομον, πωλικῆς κέρκου τὸ πάχος.
a-span-long tufted of-a-colt's tail in-the thickness
11 τῶν δ' ὑπερθέσεων τῶν ἐκ τῆς Ἰταλίας εἰς τὴν ἔξω
of-the and passes those from — Italy into the outer
Κελτικὴν καὶ τὴν προσάρκτιον ἡ διὰ Σαλασσῶν
Celtica and the northern the(-one) through Salassi
ἐστιν ἄγουσα ἐπὶ Λούγδουνον· διττὴ δ' ἐστίν, ἡ μὲν
is leading to Lugdunum double and is the(-one) indeed
ἁμαξεύεσθαι δυναμένη διὰ μήκους πλείονος ἡ
to-be-driven-with-wagons able through length greater the(-one)
διὰ Κεντρώνων, ἡ δὲ ὀρθία καὶ στενή, σύντομος
through Centrones the(-other) but steep and narrow short
δέ, ἡ διὰ τοῦ Ποινίνου. τὸ δὲ Λούγδουνον ἐν
but the(-one) through the Poeninus — and Lugdunum in
μέσῳ τῆς χώρας ἐστὶν ὥσπερ ἀκρόπολις, διά τε τὰς
middle of-the country is as-it-were acropolis because-of both the
συμβολὰς τῶν ποταμῶν καὶ διὰ τὸ ἐγγὺς εἶναι πᾶσι
confluences of-the rivers and because-of the near to-be to-all

τοῖς μέρεσι. διόπερ καὶ Ἀγρίππας ἐντεῦθεν τὰς ὁδοὺς
the parts wherefore also Agrippa from-here the roads
ἔτεμε, τὴν διὰ τῶν Κεμμένων ὀρῶν μέχρι Σαντόνων
cut the(-one) through the Cemmenus mountains as-far-as Santoni
καὶ τῆς Ἀκυιτανίας, καὶ τὴν ἐπὶ τὸν Ῥῆνον, καὶ τρίτην
and — Aquitania and the(-one) to the Rhenus and third
τὴν ἐπὶ τὸν ὠκεανόν, τὴν πρὸς Βελλοάκοις καὶ
the(-one) to the ocean the(-one) toward Bellovaci and
Ἀμβιανοῖς, τετάρτη δ' ἐστὶν ἐπὶ τὴν Ναρβωνῖτιν καὶ
Ambiani fourth and is to — Narbonitis and
τὴν Μασσαλιωτικὴν παραλίαν. ἔστι δὲ καὶ ἐν ἀριστερᾷ
the Massaliotic coast there-is and also on left
ἀφεῖσι τὸ Λούγδουνον καὶ τὴν ὑπερκειμένην χώραν
for-those-leaving — Lugdunum and the lying-above country
ἐν αὐτῷ τῷ Ποινίνῳ πάλιν ἐκτροπὴ διαβάντι τὸν
in itself the Poeninus again a-turn-off for-one-having-crossed the
Ῥοδανὸν ἢ τὴν λίμνην τὴν Λημένναν εἰς τὰ Ἑλουηττίων
Rhodanus or the lake the Lemenna into the of-Helvetii
πεδία, κἀντεῦθεν εἰς Σηκοανοὺς ὑπέρθεσις διὰ τοῦ Ἰόρα
plains and-from-here into Sequani pass through the Jura
ὄρους καὶ εἰς Λίγγονας· διά τε τούτων ἐπ' ἄμφω καὶ
mountain and into Lingones through both these to both and
ἐπὶ τὸν Ῥῆνον καὶ ἐπὶ τὸν ὠκεανὸν δίοδοι σχίζονται.
to the Rhenus and to the ocean routes branch
ἔτι φησὶ Πολύβιος ἐφ' ἑαυτοῦ κατ' Ἀκυληίαν μάλιστα 12
further says Polybius in his-own-time at Aquileia most-of-all
ἐν τοῖς Ταυρίσκοις τοῖς Νωρικοῖς εὑρεθῆναι χρυσεῖον
among the Taurisci the Norican to-have-been-found gold-mine
οὕτως εὐφυὲς ὥστ' ἐπὶ δύο πόδας ἀποσύραντι τὴν
so rich so-that for two feet for-one-having-scraped-off the
ἐπιπολῆς γῆν εὐθὺς ὀρυκτὸν εὑρίσκεσθαι χρυσόν, τὸ δ'
on-the-surface earth at-once dug to-be-found gold the and

ὄρυγμα μὴ πλειόνων ὑπάρχειν ἢ πεντεκαίδεκα ποδῶν,
digging not of-more to-be than fifteen feet
εἶναι δὲ τοῦ χρυσοῦ τὸν μὲν αὐτόθεν καθαρὸν κυάμου
to-be and of-the gold the indeed straightaway pure of-bean
μέγεθος ἢ θέρμου, τοῦ ὀγδόου μέρους μόνον ἀφεψηθέντος,
size or lupine of-the eighth part only having-been-boiled-off
τὸν δὲ δεῖσθαι μὲν χωνείας πλείονος σφόδρα δὲ λυσιτελοῦς.
the but to-need indeed smelting more very but profitable
συνεργασαμένων δὲ τοῖς βαρβάροις τῶν Ἰταλιωτῶν ἐν
having-worked-together and with-the barbarians the Italiotes in
διμήνῳ, παραχρῆμα τὸ χρυσίον εὐωνότερον γενέσθαι τῷ
two-months at-once the gold cheaper to-have-become by-the
τρίτῳ μέρει καθ' ὅλην τὴν Ἰταλίαν, αἰσθομένους δὲ τοὺς
third part throughout whole — Italy having-perceived and the
Ταυρίσκους μονοπωλεῖν ἐκβαλόντας τοὺς συνεργαζομένους.
Taurisci to-monopolize having-cast-out those working-with
ἀλλὰ νῦν ἅπαντα τὰ χρυσεῖα ὑπὸ Ῥωμαίοις ἐστί. κἀνταῦθα
but now all the gold-mines under Romans are and-here
δ', ὥσπερ κατὰ τὴν Ἰβηρίαν, φέρουσιν οἱ ποταμοὶ χρυσοῦ
and as in — Iberia bear the rivers of-gold
ψῆγμα πρὸς τῷ ὀρυκτῷ, οὐ μέντοι τοσοῦτον. ὁ δ' αὐτὸς
dust besides the dug not however so-much the and same
ἀνὴρ περὶ τοῦ μεγέθους τῶν Ἄλπεων καὶ τοῦ ὕψους λέγων
man about the size of-the Alps and the height speaking
παραβάλλει τὰ ἐν τοῖς Ἕλλησιν ὄρη τὰ μέγιστα, τὸ
compares the among the Greeks mountains the greatest the
Ταΰγετον τὸ Λύκαιον Παρνασσὸν Ὄλυμπον Πήλιον Ὄσσαν,
Taygetus the Lycaeus Parnassus Olympus Pelion Ossa
ἐν δὲ Θρᾴκῃ Αἶμον Ῥοδόπην Δούνακα· καί φησιν ὅτι τούτων
in and Thrace Haemus Rhodope Dunax and says that of-these
μὲν ἕκαστον μικροῦ δεῖν αὐθημερὸν εὐζώνοις ἀναβῆναι
indeed each of-little to-lack on-the-same-day for-the-well-girt to-ascend

δυνατόν, αὐθημερὸν δὲ καὶ περιελθεῖν, τὰς δ' Ἄλπεις οὐδ'
possible on-the-same-day and also to-go-around the but Alps not-even
ἂν πεμπταῖος ἀναβαίη τίς· τὸ δὲ μῆκός ἐστι δισχιλίων
— on-the-fifth-day could-ascend anyone the and length is of-two-thousand
καὶ διακοσίων σταδίων τὸ παρῆκον παρὰ τὰ πεδία.
and two-hundred stades the(-part) stretching-along beside the plains
τέτταρας δ' ὑπερβάσεις ὀνομάζει μόνον· διὰ Λιγύων μὲν
four and passes he-names only through Ligurians indeed
τὴν ἔγγιστα τῷ Τυρρηνικῷ πελάγει, εἶτα τὴν διὰ
the(-one) nearest to-the Tyrrhenian sea then the(-one) through
Ταυρίνων ἣν Ἀννίβας διῆλθεν, εἶτα τὴν διὰ Σαλασσῶν,
Taurini which Hannibal went-through then the(-one) through Salassi
τετάρτην δὲ τὴν διὰ Ῥαιτῶν, ἁπάσας κρημνώδεις. λίμνας
fourth and the(-one) through Rhaeti all precipitous lakes
δὲ εἶναί φησιν ἐν τοῖς ὄρεσι πλείους μέν, τρεῖς δὲ μεγάλας·
and to-be he-says in the mountains several indeed three but great
ὧν ἡ μὲν Βήνακος ἔχει μῆκος πεντακοσίων σταδίων,
of-which the indeed Benacus has length of-five-hundred stades
πλάτος δὲ τριάκοντα, ἐκρεῖ δὲ ποταμὸς Μίγκιος· ἡ δ' ἑξῆς
breadth and thirty flows-out and river Mincius the and next
Λάριος τετρακοσίων, πλάτος δὲ στενωτέρα τῆς πρότερον,
Larius of-four-hundred in-breadth but narrower than-the former
ἐξίησι δὲ ποταμὸν τὸν Ἀδούαν· τρίτη δὲ Οὐερβανὸς μῆκος
sends-out and river the Aduas third and Verbanus length
ἐγγὺς τριακοσίων σταδίων, πλάτος δὲ τριάκοντα, ποταμὸν
near three-hundred stades breadth and thirty river
δὲ ἐξίησι μέγαν Τικῖνον· πάντες δ' εἰς τὸν Πάδον συρρέουσι.
and sends-out great Ticinus all and into the Padus flow-together
τοσαῦτα καὶ περὶ τῶν ὀρῶν ἔχομεν λέγειν τῶν Ἀλπεινῶν.
so-much also about the mountains we-are-able to-say the Alpine

BOOK V

I · ITALY AND THE PADUS COUNTRY

Italy begins at the foothills of the Alps; the name, once given only to Oenotria, spread with the Romans' rule, and the Galatae and Heneti within the Alps received the citizenship. Strabo rejects the triangle others give Italy and describes its parts instead: the curved foothills, the great plain under them, and the long, narrow remainder. The plain, divided by the Padus, is fertile, held by Ligurians and Celts on one side and Celts and Heneti on the other; some say the Heneti are Paphlagonians who came with Antenor, famous for their horses. Rivers and marshes fill the country, and its sea alone has tides like the ocean's. Cities follow: Mediolanium of the Insubres, Verona, and Comum, settled in turn by Pompeius Strabo, Scipio, and Caesar; Patavium, rich and populous; and Ravenna, built of wood in the marshes yet healthy.

μετὰ δὲ τὴν ὑπώρειαν τῶν Ἄλπεων ἀρχὴ τῆς νῦν 1
after and the foothills of-the Alps beginning of-the present
Ἰταλίας. οἱ γὰρ παλαιοὶ τὴν Οἰνωτρίαν ἐκάλουν Ἰταλίαν
Italy the for ancients — Oenotria called Italy
ἀπὸ τοῦ Σικελικοῦ πορθμοῦ μέχρι τοῦ Ταραντίνου
from the Sicilian strait as-far-as the Tarentine
κόλπου καὶ τοῦ Ποσειδωνιάτου διήκουσαν, ἐπικρατῆσαν δὲ
gulf and the Posidoniate extending having-prevailed and
τοὔνομα καὶ μέχρι τῆς ὑπωρείας τῶν Ἄλπεων προὔβη.
the-name even as-far-as the foothills of-the Alps advanced
προσέλαβε δὲ καὶ τῆς Λιγυστικῆς τὰ μέχρι Οὐάρου
took-in and also — of-Liguria the-parts as-far-as Varus
ποταμοῦ καὶ τῆς ταύτῃ θαλάττης ἀπὸ τῶν ὁρίων τῶν
river and of-the here sea from the boundaries the
Τυρρηνικῶν καὶ τῆς Ἰστρίας μέχρι Πόλας. εἰκάσαι
Tyrrhenian and — of-Istria as-far-as Pola might-conjecture
δ' ἄν τις εὐτυχήσαντας τοὺς πρώτους ὀνομασθέντας
and — anyone having-prospered the first named

Ἰταλοὺς μεταδοῦναι καὶ τοῖς πλησιοχώροις, εἶθ' οὕτως
Italians to-have-shared also with-the neighbors then so
ἐπίδοσιν λαβεῖν μέχρι τῆς Ῥωμαίων ἐπικρατείας.
increase to-have-received as-far-as the of-Romans dominion
enclosing by-the toward the north turn
σφόδρα δ' εὔοινός ἐστι καὶ πυροφόρος. πλησίον δ'
very and good-for-wine is and wheat-bearing near and

αὐτῆς Αὔξουμον πόλις μικρὸν ὑπὲρ τῆς θαλάττης· εἶτα
it Auxumum city a-little above the sea then
Σεπτέμπεδα καὶ *** Πνευεντία καὶ Ποτεντία καὶ Φίρμον
Septempeda and (lacuna) Pneuentia and Potentia and Firmum
Πικηνόν· ἐπίνειον δὲ ταύτης Κάστελλον. ἐφεξῆς δὲ τὸ
Picenum port and of-this Castellum next and the
τῆς Κύπρας ἱερόν, Τυρρηνῶν ἵδρυμα καὶ κτίσμα· τὴν δ'
— of-Cupra temple of-Tyrrhenians foundation and settlement — and
Ἥραν ἐκεῖνοι Κύπραν καλοῦσιν· εἶτα Τρουεντῖνος ποταμὸς
Hera those Cupra call then Truentinus river
καὶ πόλις ἐπώνυμος· εἶτα Καστρουνόουν καὶ ὁ Ματρῖνος
and city of-the-same-name then Castrum-Novum and the Matrinus
ποταμός, ῥέων ἀπὸ τῆς Ἀδριανῶν πόλεως, ἔχων ἐπίνειον
river flowing from the of-Adriani city having port
τῆς Ἀδρίας ἐπώνυμον ἑαυτοῦ. ἔστι δ' ἐν τῇ μεσογαίᾳ
— of-Adria named-after itself is and in the interior
καὶ αὕτη καὶ τὸ Ἄσκλον τὸ Πικηνόν, ἐρυμνότατον χωρίον
both this and — Asculum the Picenum strongest place
καὶ *** ἐφ' ᾧ κεῖται τὸ τεῖχος, καὶ τὰ περικείμενα
and (lacuna) on which lies the wall and the surrounding
ὄρη στρατοπέδοις οὐ βάσιμα. ὑπὲρ δὲ τῆς Πικεντίνης
mountains for-armies not passable beyond and the Picentine
Οὐηστῖνοι τε καὶ Μαρσοὶ καὶ Πελίγνοι καὶ Μαρρουκῖνοι καὶ
Vestini both and Marsi and Peligni and Marrucini and
Φρεντανοί, Σαυνιτικὸν ἔθνος, τὴν ὀρεινὴν κατέχουσιν
Frentani Samnite nation the mountain-country hold
ἐφαπτόμενοι μικρὰ τῆς θαλάττης. ἔστι δὲ τὰ ἔθνη
touching a-little the sea are and the nations
ταῦτα μικρὰ μὲν ἀνδρικώτατα δὲ καὶ πολλάκις τὴν
these small indeed most-manly but and often the
ἀρετὴν ταύτην ἐπιδεδειγμένα Ῥωμαίοις, πρῶτον μὲν ἡνίκα
valor this having-displayed to-Romans first indeed when

ἐπολέμουν, δεύτερον δὲ ὅτε συνεστράτευον, τρίτον δ' ὅτε
they-warred second and when they-campaigned-with third and when
δεόμενοι τυχεῖν ἐλευθερίας καὶ πολιτείας μὴ τυγχάνοντες
asking to-obtain freedom and citizenship not obtaining
ἀπέστησαν καὶ τὸν Μαρσικὸν καλούμενον ἐξῆψαν πόλεμον,
they-revolted and the Marsic called kindled war
Κορφίνιον, τὴν τῶν Πελίγνων μητρόπολιν, κοινὴν ἅπασι
Corfinium the of-the Peligni mother-city common for-all
τοῖς Ἰταλιώταις ἀποδείξαντες πόλιν ἀντὶ τῆς Ῥώμης,
the Italiotes having-declared city instead-of — Rome
ὁρμητήριον τοῦ πολέμου, μετονομασθεῖσαν Ἰταλικήν,
base of-the war renamed Italica
καὶ ἐνταῦθα δὴ τοὺς συνεπομένους ἀθροίσαντες καὶ
and there indeed those following having-gathered and
χειροτονήσαντες ὑπάτους καὶ στρατηγούς· δύο δ' ἔτη
having-elected consuls and generals two and years
συνέμειναν ἐν τῷ πολέμῳ μέχρι διεπράξαντο τὴν κοινωνίαν
held-together in the war until they-achieved the partnership
περὶ ἧς ἐπολέμουν. Μαρσικὸν δὲ ὠνόμασαν τὸν πόλεμον
about which they-warred Marsic and they-named the war
ἀπὸ τῶν ἀρξάντων τῆς ἀποστάσεως, καὶ μάλιστα ἀπὸ
from those having-begun the revolt and especially from
Πομπαιδίου. τὰ μὲν οὖν ἄλλα κωμηδὸν ζῶσιν, ἔχουσι
Pompaedius the indeed then other village-by-village they-live they-have
δὲ καὶ πόλεις ὑπὲρ μὲν τῆς θαλάττης τό τε Κορφίνιον
and also cities above indeed the sea — both Corfinium
καὶ Σούλμωνα καὶ Μαρούιον καὶ Τεατέαν τὴν τῶν
and Sulmo and Maruvium and Teate the of-the
Μαρρουκίνων μητρόπολιν. ἐπ' αὐτῇ δὲ τῇ θαλάττῃ τό
Marrucini mother-city on the-very and the sea —
τε Ἄτερνον, ὅμορον τῇ Πικεντίνῃ, ὁμώνυμον δὲ τῷ
both Aternum bordering on-the Picentine of-the-same-name and with-the

ποταμῷ τῷ διορίζοντι τήν τε Οὐηστίνην καὶ τὴν
river the(-one) separating — both Vestina and —
Μαρρουκίνην. ῥεῖ γὰρ ἐκ τῆς Ἀμιτερνίνης, διὰ δὲ
Marrucina flows for from the Amiternine through and
Οὐηστίνων, παραλιπὼν ἐν δεξιᾷ τοὺς Μαρρουκίνους ὑπὲρ
Vestini having-left on right the Marrucini above
τῶν Πελίγνων κειμένους, ζεύγματι περατός. τὸ δὲ πόλισμα
the Peligni lying by-bridge crossable the and small-town
τὸ ἐπώνυμον αὐτοῦ Οὐηστίνων μέν ἐστι, κοινῷ δ' ἐπινείῳ
the named-after it of-Vestini indeed is common but port
χρῶνται καὶ οἱ Πελίγνοι καὶ οἱ Μαρρουκῖνοι· διέχει δὲ τὸ
use both the Peligni and the Marrucini is-distant and the
ζεῦγμα τέτταρας καὶ εἴκοσι σταδίους ἀπὸ Κορφινίου. μετὰ
bridge four and twenty stades from Corfinium after
δὲ Ἄτερνον Ὄρτων ἐπίνειον Φρεντανῶν, καὶ Βοῦκα καὶ
and Aternum Orton port of-Frentani and Buca also
αὐτὴ Φρεντανῶν, ὅμορος Τεάνῳ τῷ Ἀπούλῳ. μεταξὺ δὲ
itself of-Frentani bordering on-Teanum the Apulian between and
Ὄρτωνος καὶ Ἀτέρνου ὁ Σάγρος ποταμὸς ὁρίζων τοὺς
Orton and Aternum the Sagrus river bounding the
Φρεντανοὺς ἀπὸ τῶν Πελίγνων. ὁ δὲ παράπλους ἀπὸ τῆς
Frentani from the Peligni the and coasting-voyage from the
Πικεντίνης ἐπὶ τοὺς Ἀπούλους, οὓς οἱ Ἕλληνες Δαυνίους
Picentine to the Apuli whom the Greeks Daunii
καλοῦσι, σταδίων ἐστὶν ὅσον τετρακοσίων ἐνενήκοντα.
call of-stades is as-much-as four-hundred ninety
ἑξῆς δὲ μετὰ τὴν Λατίνην ἐστὶν ἥ τε Καμπανία 3
next and after — Latina is — both Campania
παρήκουσα τῇ θαλάττῃ, καὶ ὑπὲρ ταύτην ἡ Σαυνῖτις
extending-along the sea and above this — Samnitis
ἐν μεσογαίᾳ μέχρι Φρεντανῶν καὶ τῶν Δαυνίων, εἶτ'
in interior as-far-as Frentani and the Daunii then

αὐτοὶ Δαύνιοι καὶ τἆλλα ἔθνη τὰ μέχρι τοῦ Σικελικοῦ
themselves Daunii and the-other nations those as-far-as the Sicilian
πορθμοῦ. πρῶτον δὲ περὶ τῆς Καμπανίας ῥητέον. ἔστι
strait first and about — Campania one-must-speak is
δ' ἀπὸ τῆς Σινοέσσης ἐπὶ μὲν τὴν ἑξῆς παραλίαν
and from — Sinuessa to indeed the next coast
κόλπος εὐμεγέθης μέχρι Μισηνοῦ, κἀκεῖθεν ἄλλος κόλπος
gulf large as-far-as Misenum and-from-there another gulf
πολὺ μείζων τοῦ προτέρου, καλοῦσι δ' αὐτὸν κρατῆρα,
much greater than-the former they-call and it Crater
ἀπὸ τοῦ Μισηνοῦ μέχρι τοῦ Ἀθηναίου, δυεῖν ἀκρωτηρίων,
from the Misenum as-far-as the Athenaeum two headlands
κολπούμενον. ὑπὲρ δὲ τούτων τῶν ἠόνων Καμπανία πᾶσα
curving-in above and these the shores Campania all
ἵδρυται, πεδίον εὐδαιμονέστατον τῶν ἁπάντων· περίκεινται
is-set plain most-fortunate of-the all lie-around
δ' αὐτῷ γεωλοφίαι τε εὔκαρποι καὶ ὄρη τά τε
and it hills both fruitful and mountains the both
τῶν Σαυνιτῶν καὶ τὰ τῶν Ὄσκων. Ἀντίοχος μὲν οὖν
of-the Samnites and those of-the Osci Antiochus indeed then
φησι τὴν χώραν ταύτην Ὀπικοὺς οἰκῆσαι, τούτους δὲ
says the country this Opici to-have-inhabited these and
καὶ Αὔσονας καλεῖσθαι. Πολύβιος δ' ἐμφαίνει δύο ἔθνη
also Ausones to-be-called Polybius but shows two nations
νομίζων ταῦτα· Ὀπικοὺς γάρ φησι καὶ Αὔσονας οἰκεῖν
considering these Opici for he-says and Ausones to-inhabit
τὴν χώραν ταύτην περὶ τὸν κρατῆρα. ἄλλοι δὲ λέγουσιν
the country this about the Crater others and say
οἰκούντων Ὀπικῶν πρότερον καὶ Αὐσόνων· οἱ δ' ἐκείνους
dwelling Opici formerly and Ausones these and those
κατασχεῖν ὕστερον Ὄσκων τι ἔθνος, τούτους δ' ὑπὸ
to-have-occupied later of-Osci some nation these and by

Κυμαίων, ἐκείνους δ' ὑπὸ Τυρρηνῶν ἐκπεσεῖν· διὰ
Cumaeans those and by Tyrrhenians to-have-been-cast-out because-of
γὰρ τὴν ἀρετὴν περιμάχητον γενέσθαι τὸ πεδίον· δώδεκα
for the excellence fought-over to-have-become the plain twelve
δὲ πόλεις ἐγκατοικίσαντας τὴν οἷον κεφαλὴν ὀνομάσαι
and cities having-settled-in the as-it-were head to-have-named
Καπύην. διὰ δὲ τὴν τρυφὴν εἰς μαλακίαν τραπομένους
Capua because-of and the luxury into softness having-turned
καθάπερ τῆς περὶ τὸν Πάδον χώρας ἐξέστησαν, οὕτω καὶ
as of-the about the Padus country they-withdrew so also
ταύτης παραχωρῆσαι Σαυνίταις, τούτους δ' ὑπὸ Ῥωμαίων
from-this to-have-given-way to-Samnites these and by Romans
ἐκπεσεῖν. τῆς δ' εὐκαρπίας ἐστὶ σημεῖον τὸ σῖτον
to-have-been-cast-out of-the and fruitfulness is sign the grain
ἐνταῦθα γίνεσθαι τὸν κάλλιστον, λέγω δὲ τὸν πύρινον,
here to-be-produced the finest I-mean and the wheat
ἐξ οὗ καὶ ὁ χόνδρος κρείττων ὢν πάσης καὶ ὀρύζης καὶ
from which also the groats better being than-all both rice and
ἐν ὀλίγῳ σιτικῆς τροφῆς. ἱστορεῖται δ' ἔνια τῶν πεδίων
in small-compass grain food is-recorded and some of-the plains
σπείρεσθαι δι' ἔτους δὶς μὲν τῇ ζειᾷ, τὸ δὲ τρίτον ἐλύμῳ,
to-be-sown in year twice indeed with-the spelt the and third with-millet
τινὰ δὲ καὶ λαχανεύεσθαι τῷ τετάρτῳ σπόρῳ. καὶ
some and also to-be-planted-with-vegetables with-the fourth sowing and
μὴν τὸν οἶνον τὸν κράτιστον ἐντεῦθεν ἔχουσι Ῥωμαῖοι
indeed the wine the best from-here have Romans
τὸν Φάλερνον καὶ τὸν Στατανὸν καὶ Καληνόν· ἤδη δὲ
the Falernian and the Statanian and Calenian already and
καὶ ὁ Συρρεντῖνος ἐνάμιλλος καθίσταται τούτοις, νεωστὶ
also the Surrentine rivaling is-established with-these recently

πειρασθεὶς ὅτι παλαίωσιν δέχεται. ὡς δ' αὕτως εὐέλαιός
tested that aging it-admits as and likewise rich-in-olives
ἐστι καὶ πᾶσα ἡ περὶ τὸ Οὐέναφρον ὅμορον τοῖς πεδίοις ὄν.
is also all the about — Venafrum bordering on-the plains being
4 πόλεις δ' ἐπὶ μὲν τῇ θαλάττῃ μετὰ τὴν Σινόεσσαν
cities and on indeed the sea after — Sinuessa
Λίτερνον, ὅπου τὸ μνῆμα τὸ Σκιπίωνος τοῦ πρώτου
Liternum where the monument the of-Scipio the first
προσαγορευθέντος Ἀφρικανοῦ· διέτριψε γὰρ ἐνταῦθα τὸ
called Africanus he-spent-time for here the
τελευταῖον ἀφεὶς τὰς πολιτείας κατ' ἀπέχθειαν τὴν
last-period having-given-up the public-affairs from hatred the
πρός τινας. παραρρεῖ δὲ ὁμώνυμος τῇ πόλει ποταμός.
toward some flows-past and of-the-same-name with-the city river
ὡς δ' αὕτως καὶ Οὐουλτοῦρνος ὁμώνυμός ἐστι τῇ παρ'
as and likewise also Vulturnus of-the-same-name is with-the beside
αὐτὸν πόλει ἐφεξῆς κειμένῃ· ῥεῖ δ' οὗτος διὰ Οὐενάφρου
it city next lying flows and this through Venafrum
καὶ τῆς Καμπανίας μέσης. ταύταις δ' ἐφεξῆς ἔστι Κύμη
and — Campania middle these and next is Cyme
Χαλκιδέων καὶ Κυμαίων παλαιότατον κτίσμα· πασῶν γάρ
of-Chalcidians and Cymaeans most-ancient foundation of-all for
ἐστι πρεσβυτάτη τῶν τε Σικελικῶν καὶ τῶν Ἰταλιωτίδων.
it-is oldest of-the both Sicilian and the Italiote
οἱ δὲ τὸν στόλον ἄγοντες, Ἱπποκλῆς ὁ Κυμαῖος καὶ
those and the expedition leading Hippocles the Cymaean and
Μεγασθένης ὁ Χαλκιδεύς, διωμολογήσαντο πρὸς σφᾶς
Megasthenes the Chalcidian agreed with them-
αὐτούς, τῶν μὲν ἀποικίαν εἶναι τῶν δὲ τὴν
-selves of-the(-ones) indeed colony to-be of-the(-others) but the
ἐπωνυμίαν· ὅθεν νῦν μὲν προσαγορεύεται Κύμη, κτίσαι
naming whence now indeed it-is-called Cyme to-have-founded

δ' αὐτὴν Χαλκιδεῖς δοκοῦσι. πρότερον μὲν οὖν ηὐτύχει
and it Chalcidians seem formerly indeed then it-prospered
καὶ τὸ Φλεγραῖον καλούμενον πεδίον, ἐν ᾧ τὰ περὶ
and the Phlegraean called plain in which the-things about
τοὺς Γίγαντας μυθεύουσιν οὐκ ἄλλοθεν, ὡς εἰκός, ἀλλ' ἐκ
the Giants they-tell-in-myth not from-elsewhere as likely but from
τοῦ περιμάχητον τὴν γῆν εἶναι δι' ἀρετήν, ὕστερον δ'
the fought-over the land to-be because-of excellence later but
οἱ Καμπανοὶ κύριοι καταστάντες τῆς πόλεως ὕβρισαν εἰς
the Campani masters having-become of-the city outraged against
τοὺς ἀνθρώπους πολλά· καὶ δὴ καὶ ταῖς γυναιξὶν αὐτῶν
the men many-things and indeed also with-the women their
συνῴκησαν αὐτοί. ὅμως δ' οὖν ἔτι σώζεται πολλὰ ἴχνη
cohabited themselves nevertheless but then still are-preserved many traces
τοῦ Ἑλληνικοῦ κόσμου καὶ τῶν ἱερῶν καὶ τῶν νομίμων.
of-the Greek order both of-the sacred-rites and of-the customs
ὠνομάσθαι δ' ἔνιοι Κύμην ἀπὸ τῶν κυμάτων φασί·
to-have-been-named and some Cyme from the waves say
ῥαχιώδης γὰρ καὶ προσεχὴς ὁ πλησίον αἰγιαλός. εἰσὶ δὲ καὶ
surfy for and exposed the near beach are and also
κητεῖαι παρ' αὐτοῖς ἄρισται. ἐν δὲ τῷ κόλπῳ τούτῳ καὶ
tunny-fisheries among them best in and the gulf this also
ὕλη τίς ἐστι θαμνώδης ἐπὶ πολλοὺς ἐκτεινομένη σταδίους
forest some is bushy for many extending stades
ἄνυδρος καὶ ἀμμώδης, ἣν Γαλλιναρίαν ὕλην καλοῦσιν.
waterless and sandy which Gallinarian forest they-call
ἐνταῦθα δὴ λῃστήρια συνεστήσαντο οἱ Πομπηίου Σέξτου
here indeed pirate-bands formed the of-Pompeius Sextus
ναύαρχοι, καθ' ὃν καιρὸν Σικελίαν ἀπέστησεν ἐκεῖνος.
admirals at which time Sicily caused-to-revolt that-one

πλησίον δὲ τῆς Κύμης τὸ Μισηνὸν ἀκρωτήριον καὶ ἐν
near and — Cyme the Misenum headland and in
τῷ μεταξὺ Ἀχερουσία λίμνη, τῆς θαλάττης ἀνάχυσίς τις
the between Acherusian lake of-the sea outpouring some
τεναγώδης. κάμψαντι δὲ τὸ Μισηνὸν λιμὴν εὐθὺς
shoaly for-one-having-turned and the Misenum harbor straightway
ὑπὸ τῇ ἄκρᾳ, καὶ μετὰ τοῦτον ἐγκολπίζουσα ἠὼν εἰς
under the headland and after this curving shore into
βάθος, ἐν ᾗ αἱ Βαῖαι καὶ τὰ θερμὰ ὕδατα τὰ καὶ
depth in which — Baiae and the hot waters those both
πρὸς τρυφὴν καὶ πρὸς θεραπείαν νόσων ἐπιτήδεια. ταῖς
for luxury and for treatment of-diseases suitable —
δὲ Βαίαις συνεχὴς ὅ τε Λοκρῖνος κόλπος καὶ ἐντὸς
and to-Baiae adjoining the both Lucrine gulf and inside
τούτου ὁ Ἄορνος χερρόνησον ποιῶν τὴν ἀπολαμβανομένην
this the Avernus peninsula making the cut-off
μέχρι Μισηνοῦ γῆν ἀπὸ τῆς μεταξὺ Κύμης καὶ αὐτοῦ.
as-far-as Misenum land from the between Cyme and it
λοιπὸς γάρ ἐστιν ὀλίγων σταδίων ἰσθμὸς διὰ τῆς
remaining for is of-few stades isthmus through the
διώρυγος ἐπ᾽ αὐτὴν Κύμην καὶ τὴν πρὸς αὐτῇ θάλατταν.
canal to itself Cyme and the by it sea
ἐμύθευον δ᾽ οἱ πρὸ ἡμῶν ἐν τῷ Ἀόρνῳ τὰ περὶ
told-in-myth and those before us in the Avernus the-things about
τὴν νέκυιαν τὴν Ὁμηρικήν· καὶ δὴ καὶ νεκυομαντεῖον
the Necyia the Homeric and indeed also oracle-of-the-dead
ἱστοροῦσιν ἐνταῦθα γενέσθαι καὶ Ὀδυσσέα εἰς τοῦτ᾽
they-record here to-have-been and Odysseus to this
ἀφικέσθαι. ἔστι δ᾽ ὁ μὲν Ἄορνος κόλπος ἀγχιβαθὴς
to-have-come is and the indeed Avernus gulf deep-near-shore
καὶ ἀρτίστομος, λιμένος καὶ μέγεθος καὶ φύσιν ἔχων,
and well-mouthed of-harbor both size and nature having

χρείαν δ' οὐ παρεχόμενος λιμένος διὰ τὸ προκεῖσθαι
use but not providing of-harbor because-of the to-lie-before
τὸν Λοκρῖνον κόλπον προσβραχῆ καὶ πολύν. περικλείεται
the Lucrine gulf shallow and large is-enclosed
δ' Ἄορνος ὀφρύσιν ὀρθίαις ὑπερκειμέναις πανταχόθεν
and Avernus by-brows steep lying-above from-everywhere
πλὴν τοῦ εἴσπλου, νῦν μὲν ἡμέρως ἐκπεπονημέναις
except the entrance now indeed in-cultivated-fashion worked
πρότερον δὲ συνηρεφέσιν ἀγρίᾳ ὕλῃ μεγαλοδένδρῳ καὶ
formerly but thickly-shaded with-wild forest of-great-trees and
ἀβάτῳ, αἷ κατὰ δεισιδαιμονίαν κατάσκιον ἐποίουν τὸν
impassable which by superstition shadowy made the
κόλπον. προσεμύθευον δ' οἱ ἐπιχώριοι καὶ τοὺς ὄρνεις
gulf added-the-myth and the natives also the birds
τοὺς ὑπερπετεῖς γινομένους καταπίπτειν εἰς τὸ ὕδωρ
those flying-over becoming to-fall-down into the water
φθειρομένους ὑπὸ τῶν ἀναφερομένων ἀέρων, καθάπερ
being-destroyed by the rising airs as
ἐν τοῖς Πλουτωνίοις. καὶ τοῦτο χωρίον Πλουτώνιόν τι
in the Plutonia also this place Plutonium some
ὑπελάμβανον καὶ τοὺς Κιμμερίους ἐνταῦθα λέγεσθαι·
they-supposed and the Cimmerians here to-be-spoken-of
καὶ εἰσέπλεόν γε προθυσάμενοι καὶ ἱλασάμενοι τοὺς
and sailed-in at-least having-sacrificed-first and having-propitiated the
καταχθονίους δαίμονας, ὄντων τῶν ὑφηγουμένων τὰ τοιάδε
underground divinities being those guiding the such-things
ἱερέων ἠργολαβηκότων τὸν τόπον. ἔστι δὲ πηγή τις αὐτόθι
priests having-contracted-for the place is and spring some there
ποτίμου ὕδατος ἐπὶ τῇ θαλάττῃ· τούτου δ' ἀπείχοντο
of-drinkable water on the sea from-this and abstained
πάντες τὸ τῆς Στυγὸς ὕδωρ νομίσαντες· καὶ τὸ μαντεῖον
all the of-the Styx water having-considered and the oracle

ἐνταῦθά που ἵδρυται· τόν τε Πυριφλεγέθοντα ἐκ τῶν
there somewhere is-situated the both Pyriphlegethon from the
θερμῶν ὑδάτων ἐτεκμαίροντο τῶν πλησίον τῆς Ἀχερουσίας.
hot waters they-conjectured those near the Acherusia
Ἔφορος δὲ τοῖς Κιμμερίοις προσοικειῶν τὸν τόπον φησὶν
Ephorus but with-the Cimmerians associating the place says
αὐτοὺς ἐν καταγείοις οἰκίαις οἰκεῖν ἃς καλοῦσιν ἀργίλλας,
them in underground houses to-dwell which they-call argillae
καὶ διά τινων ὀρυγμάτων παρ᾽ ἀλλήλους τε φοιτᾶν
and through some tunnels to one-another both to-visit
καὶ τοὺς ξένους εἰς τὸ μαντεῖον δέχεσθαι πολὺ ὑπὸ γῆς
and the strangers into the oracle to-receive far under earth
ἱδρυμένον· ζῆν δ᾽ ἀπὸ μεταλλείας καὶ τῶν μαντευομένων,
situated to-live and from mining and those consulting-the-oracle
καὶ τοῦ βασιλέως ἀποδείξαντος αὐτοῖς συντάξεις. εἶναι δὲ
and of-the king having-assigned to-them allowances to-be and
τοῖς περὶ τὸ χρηστήριον ἔθος πάτριον μηδένα τὸν ἥλιον
for-those about the oracle custom ancestral no-one the sun
ὁρᾶν, ἀλλὰ τῆς νυκτὸς ἔξω πορεύεσθαι τῶν χασμάτων·
to-see but by-the night outside to-go of-the chasms
καὶ διὰ τοῦτο τὸν ποιητὴν περὶ αὐτῶν εἰπεῖν ὡς ἄρα
and because-of this the poet about them to-have-said as then
"οὐδέ ποτ᾽ αὐτοὺς ἠέλιος φαέθων ἐπιδέρκεται." ὕστερον
not-even ever them sun shining looks-upon later
δὲ διαφθαρῆναι τοὺς ἀνθρώπους ὑπὸ βασιλέως τινός,
and to-have-been-destroyed the men by king some
οὐκ ἀποβάντος αὐτῷ τοῦ χρησμοῦ, τὸ δὲ μαντεῖον ἔτι
not having-turned-out for-him the oracle the but oracle still
συμμένειν μεθεστηκὸς εἰς ἕτερον τόπον. τοιαῦτα μὲν
to-hold-together having-moved to another place such-things indeed
οἱ πρὸ ἡμῶν ἐμυθολόγουν, νυνὶ δὲ τῆς μὲν ὕλης
those before us told-in-myth now but of-the indeed forest

τῆς περὶ τὸν Ἄορνον κοπείσης ὑπὸ Ἀγρίππα, τῶν δὲ
the about the Avernus having-been-cut by Agrippa of-the and
χωρίων κατοικοδομηθέντων, ἀπὸ δὲ τοῦ Ἀόρνου διώρυγος
places having-been-built-up from and the Avernus canal
ὑπονόμου τμηθείσης μέχρι Κύμης, ἅπαντ' ἐκεῖνα ἐφάνη
underground having-been-cut as-far-as Cyme all those appeared
μῦθος, τοῦ Κοκκηίου τοῦ ποιήσαντος τὴν διώρυγα
myth — of-Cocceius the(-one) having-made the canal
ἐκείνην τε καὶ ἐπὶ νέαν πόλιν ἐκ Δικαιαρχείας ἐπὶ ταῖς
that both and to new city from Dicaearchia by —
Βαίαις, ἐπακολουθήσαντός πως τῷ περὶ τῶν Κιμμερίων
Baiae having-followed somehow the about the Cimmerians
ἀρτίως λεχθέντι λόγῳ, τυχὸν ἴσως καὶ πάτριον νομίσαντος
just-now told account perhaps perhaps also ancestral having-considered
τῷ τόπῳ τούτῳ δι' ὀρυγμάτων εἶναι τὰς ὁδούς.
for-the place this through tunnels to-be the roads

The Lucrine gulf, closed by the mole Heracles is said to have built, yields oysters; Dicaearchia, renamed Puteoli, has become a great emporium, built on moles of its fine sand, with the Forum of Hephaestus smoking above it. Neapolis keeps Greek ways, gymnasia, and games, and draws Romans seeking leisure; a tunnel joins it to Dicaearchia. Beyond lie Heracleium, Pompeii, Vesuvius, whose ashen summit shows it once burned, and Surrentum and the Sirens' rocks. The islands follow: Prochyta, a fragment of Pithecussae, and Pithecussae, shaken by earthquakes and fires, under which the myth lays Typhon, though Pindar lays him under the whole fiery tract from Cyme to Sicily; and Capreae, which Augustus took for his own.

6 ὁ δὲ Λοκρῖνος κόλπος πλατύνεται μέχρι Βαιῶν, χώματι
the and Lucrine gulf widens as-far-as Baiae by-mound
εἰργόμενος ἀπὸ τῆς ἔξω θαλάττης ὀκτασταδίῳ τὸ μῆκος,
shut-off from the outer sea eight-stade in-the length
πλάτος δὲ ἁμαξιτοῦ πλατείας, ὅ φασιν Ἡρακλέα
in-breadth and of-wagon-road broad which they-say Heracles
διαχῶσαι τὰς βοῦς ἐλαύνοντα τὰς Γηρυόνου· δεχόμενον
to-have-heaped-across the cattle driving those of-Geryon receiving
δ' ἐπιπολῆς τὸ κῦμα τοῖς χειμῶσιν ὥστε μὴ πεζεύεσθαι
and over-the-top the wave in-the winters so-that not to-be-walked
ῥᾳδίως Ἀγρίππας ἐπεσκεύασεν. εἴσπλουν δ' ἔχει πλοίοις
easily Agrippa repaired entrance and it-has for-boats
ἐλαφροῖς, ἐνορμίσασθαι μὲν ἄχρηστος, τῶν ὀστρέων δὲ
light to-anchor-in indeed useless of-the oysters but
θήραν ἔχων ἀφθονωτάτην. ἔνιοι δὲ τοῦτον αὐτὸν τὴν λίμνην
catching having most-abundant some and this itself the lake
εἶναι τὴν Ἀχερουσίαν φασίν, Ἀρτεμίδωρος δὲ αὐτὸν τὸν
to-be the Acherusian say Artemidorus but itself the
Ἄορνον. τὰς δὲ Βαίας ἐπωνύμους εἶναι λέγουσι Βαίου τῶν
Avernus — and Baiae named-after to-be they-say Baius of-the

Ὀδυσσέως ἑταίρων τινός. ἑξῆς δ' εἰσὶν αἱ περὶ Δικαιάρχειαν
of-Odysseus companions one next and are the about Dicaearchia
ἀκταὶ καὶ αὐτὴ ἡ πόλις. ἦν δὲ πρότερον μὲν ἐπίνειον
shores and itself the city was and formerly indeed port
Κυμαίων ἐπ' ὀφρύος ἱδρυμένον, κατὰ δὲ τὴν Ἀννίβα
of-Cumaeans on brow situated at but the of-Hannibal
στρατείαν συνῴκισαν Ῥωμαῖοι καὶ μετωνόμασαν Ποτιόλους
expedition colonized Romans and renamed Puteoli
ἀπὸ τῶν φρεάτων· οἱ δ' ἀπὸ τῆς δυσωδίας τῶν ὑδάτων·
from the wells the(-others) but from the stench of-the waters
ἅπαν τὸ χωρίον ἐκεῖ μέχρι Βαιῶν καὶ τῆς Κυμαίας θείου
all the place there as-far-as Baiae and the Cumaean of-sulfur
πλῆρές ἐστι καὶ πυρὸς καὶ θερμῶν ὑδάτων. τινὲς δὲ καὶ
full is and of-fire and of-hot waters some and also
Φλέγραν διὰ τοῦτο τὴν Κυμαίαν νομίζουσι κληθῆναι,
Phlegra because-of this the Cumaean think to-have-been-called
καὶ τῶν πεπτωκότων Γιγάντων τὰ κεραύνια τραύματα
and of-the fallen Giants the thunderbolt wounds
ἀναφέρειν τὰς τοιαύτας προχοὰς τοῦ πυρὸς καὶ τοῦ ὕδατος.
to-send-up the such outpourings of-the fire and of-the water
ἡ δὲ πόλις ἐμπόριον γεγένηται μέγιστον, χειροποιήτους
the and city emporium has-become greatest hand-made
ἔχουσα ὅρμους διὰ τὴν εὐφυΐαν τῆς ἄμμου· σύμμετρος
having anchorages because-of the natural-quality of-the sand proportionate
γάρ ἐστι τῇ τιτάνῳ καὶ κόλλησιν ἰσχυρὰν καὶ πῆξιν
for it-is to-the lime and cementing strong and solidity
λαμβάνει. διόπερ τῇ χάλικι καταμίξαντες τὴν ἀμμοκονίαν
takes wherefore with-the rubble having-mixed the sand-mortar
προβάλλουσι χώματα εἰς τὴν θάλατταν, καὶ κολποῦσι
they-throw-out moles into the sea and make-gulfs-of
τὰς ἀναπεπταμένας ᾐόνας ὥστ' ἀσφαλῶς ἐνορμίζεσθαι
the wide-open shores so-that safely to-anchor

τὰς μεγίστας ὁλκάδας. ὑπέρκειται δὲ τῆς πόλεως εὐθὺς
the greatest merchant-ships lies-above and the city straightway
ἡ τοῦ Ἡφαίστου ἀγορά, πεδίον περικεκλειμένον διαπύροις
the — of-Hephaestus market plain enclosed-round with-fiery
ὀφρύσι, καμινώδεις ἐχούσαις ἀναπνοὰς πολλαχοῦ καὶ
brows furnace-like having vents in-many-places and
βρωμώδεις ἱκανῶς· τὸ δὲ πεδίον θείου πλῆρές ἐστι συρτοῦ.
stinking considerably the and plain of-sulfur full is drifting
7 μετὰ δὲ Δικαιάρχειάν ἐστι Νεάπολις Κυμαίων (ὕστερον
after and Dicaearchia is Neapolis of-Cumaeans later
δὲ καὶ Χαλκιδεῖς ἐπῴκησαν καὶ Πιθηκουσσαίων τινὲς καὶ
and also Chalcidians settled-in and of-Pithecussaeans some and
Ἀθηναίων, ὥστε καὶ Νεάπολις ἐκλήθη διὰ τοῦτο), ὅπου
of-Athenians so-that also Neapolis it-was-called because-of this where
δείκνυται μνῆμα τῶν Σειρήνων μιᾶς Παρθενόπης, καὶ
is-shown monument of-the Sirens of-one Parthenope and
ἀγὼν συντελεῖται γυμνικὸς κατὰ μαντείαν. ὕστερον δὲ
contest is-held gymnastic according-to oracle later and
Καμπανῶν τινας ἐδέξαντο συνοίκους διχοστατήσαντες, καὶ
of-Campani some they-received fellow-settlers having-quarreled and
ἠναγκάσθησαν τοῖς ἐχθίστοις ὡς οἰκειοτάτοις χρήσασθαι,
were-compelled the most-hostile as most-intimate to-use
ἐπειδὴ τοὺς οἰκείους ἀλλοτρίους ἔσχον. μηνύει δὲ τὰ
since the intimates foreign they-had shows and the
τῶν δημάρχων ὀνόματα τὰ μὲν πρῶτα Ἑλληνικὰ
of-the demarchs names the(-ones) indeed first Greek
ὄντα, τὰ δ' ὕστερα τοῖς Ἑλληνικοῖς ἀναμὶξ τὰ
being the(-ones) but later with-the Greek mixed the
Καμπανικά. πλεῖστα δ' ἴχνη τῆς Ἑλληνικῆς ἀγωγῆς
Campanian most and traces of-the Greek way-of-life
ἐνταῦθα σώζεται, γυμνάσιά τε καὶ ἐφηβεῖα καὶ φρατρίαι
here are-preserved gymnasia both and ephebeia and phratries

καὶ ὀνόματα Ἑλληνικὰ καίπερ ὄντων Ῥωμαίων. νυνὶ
and names Greek although being Romans now
δὲ πεντετηρικὸς ἱερὸς ἀγὼν συντελεῖται παρ᾽ αὐτοῖς
and quinquennial sacred contest is-held among them
μουσικός τε καὶ γυμνικὸς ἐπὶ πλείους ἡμέρας, ἐνάμιλλος
musical both and gymnastic for several days rivaling
τοῖς ἐπιφανεστάτοις τῶν κατὰ τὴν Ἑλλάδα. ἔστι δὲ
with-the most-illustrious of-those throughout — Hellas is and
καὶ ἐνθάδε διῶρυξ κρυπτή, τοῦ μεταξὺ ὄρους τῆς τε
also here passage hidden the between mountain — both
Δικαιαρχείας καὶ τῆς Νεαπόλεως ὑπεργασθέντος ὁμοίως
of-Dicaearchia and — of-Neapolis having-been-tunneled likewise
ὥσπερ ἐπὶ τὴν Κύμην, ὁδοῦ τε ἀνοιχθείσης ἐναντίοις
as to — Cyme road both having-been-opened for-opposite
ζεύγεσι πορευτῆς ἐπὶ πολλοὺς σταδίους· τὰ δὲ φῶτα ἐκ
teams passable for many stades the and lights from
τῆς ἐπιφανείας τοῦ ὄρους, πολλαχόθεν ἐκκοπεισῶν θυρίδων,
the surface of-the mountain from-many-places having-been-cut windows
διὰ βάθους πολλοῦ κατάγεται. ἔχει δὲ καὶ ἡ Νεάπολις
through depth great is-brought-down has and also — Neapolis
θερμῶν ὑδάτων ἐκβολὰς καὶ κατασκευὰς λουτρῶν οὐ
of-hot waters outlets and constructions of-baths not
χείρους τῶν ἐν Βαίαις, πολὺ δὲ τῷ πλήθει λειπομένας·
worse than-those in Baiae much but in-the number falling-short
ἐκεῖ γὰρ ἄλλη πόλις γεγένηται, συνῳκοδομημένων
there for another city has-come-into-being built-together
βασιλείων ἄλλων ἐπ᾽ ἄλλοις, οὐκ ἐλάττων τῆς Δικαιαρχείας.
palaces some on others not less — than-Dicaearchia
ἐπιτείνουσι δὲ τὴν ἐν Νεαπόλει διαγωγὴν τὴν Ἑλληνικὴν
intensify and the in Neapolis way-of-life the Greek
οἱ ἐκ τῆς Ῥώμης ἀναχωροῦντες δεῦρο ἡσυχίας χάριν
those from — Rome withdrawing here of-quiet for-the-sake

τῶν ἀπὸ παιδείας ἐργασαμένων ἢ καὶ ἄλλων διὰ
of-those from education having-worked or also of-others because-of
γῆρας ἢ ἀσθένειαν ποθούντων ἐν ἀνέσει ζῆν· καὶ τῶν
old-age or weakness longing in relaxation to-live and of-the
Ῥωμαίων δ' ἔνιοι χαίροντες τῷ βίῳ τούτῳ, θεωροῦντες
Romans and some delighting in-the life this seeing
τὸ πλῆθος τῶν ἀπὸ τῆς αὐτῆς ἀγωγῆς ἐπιδημούντων
the multitude of-those from the same way-of-life sojourning
ἀνδρῶν, ἄσμενοι φιλοχωροῦσι καὶ ζῶσιν αὐτόθι.
men gladly are-fond-of-the-place and live there

8 Ἐχόμενον δὲ φρούριόν ἐστιν Ἡράκλειον ἐκκειμένην εἰς
adjoining and fort is Heracleium jutting-out into
τὴν θάλατταν ἄκραν ἔχον, καταπνεομένην λιβὶ
the sea headland having blown-upon by-the-southwest-wind
θαυμαστῶς ὥσθ' ὑγιεινὴν ποιεῖν τὴν κατοικίαν. Ὅσκοι δὲ
wonderfully so-that healthy to-make the settlement Osci and
εἶχον καὶ ταύτην καὶ τὴν ἐφεξῆς Πομπηίαν ἣν παραρρεῖ
held both this and the next Pompeii which flows-past
ὁ Σάρνος ποταμός, εἶτα Τυρρηνοὶ καὶ Πελασγοί, μετὰ
the Sarnus river then Tyrrhenians and Pelasgi after
ταῦτα δὲ Σαυνῖται· καὶ οὗτοι δ' ἐξέπεσον ἐκ τῶν
these-things and Samnites also these and were-cast-out from the
τόπων. Νώλης δὲ καὶ Νουκερίας καὶ Ἀχερρῶν, ὁμωνύμου
places of-Nola and and Nuceria and Acerrae of-the-same-name
κατοικίας τῆς περὶ Κρέμωνα, ἐπίνειόν ἐστιν ἡ Πομπηία,
settlement with-the about Cremona port is — Pompeii
παρὰ τῷ Σάρνῳ ποταμῷ καὶ δεχομένῳ τὰ φορτία καὶ
by the Sarnus river both receiving the cargoes and
ἐκπέμποντι. ὑπέρκειται δὲ τῶν τόπων τούτων ὄρος τὸ
sending-out lies-above and the places these mountain the
Οὐέσουιον, ἀγροῖς περιοικούμενον παγκάλοις πλὴν τῆς
Vesuvius with-fields dwelt-around most-beautiful except the

κορυφῆς· αὕτη δ' ἐπίπεδος μὲν πολὺ μέρος ἐστίν, ἄκαρπος
summit this and level indeed great part is barren
δ' ὅλη, ἐκ δὲ τῆς ὄψεως τεφρώδης, καὶ κοιλάδας φαίνει
but whole from and the appearance ashen and hollows shows
σηραγγώδεις πετρῶν αἰθαλωδῶν κατὰ τὴν χρόαν, ὡς
cavernous of-rocks soot-colored in the color as
ἂν ἐκβεβρωμένων ὑπὸ πυρός, ὡς τεκμαίροιτ' ἄν τις
— eaten-out by fire so-that might-conjecture — anyone
τὸ χωρίον τοῦτο καίεσθαι πρότερον καὶ ἔχειν κρατῆρας
the place this to-burn formerly and to-have craters
πυρός, σβεσθῆναι δ' ἐπιλιπούσης τῆς ὕλης. τάχα δὲ
of-fire to-have-been-quenched and having-failed the fuel perhaps and
καὶ τῆς εὐκαρπίας τῆς κύκλῳ τοῦτ' αἴτιον, ὥσπερ ἐν τῇ
also of-the fruitfulness the round this cause as in —
Κατάνῃ, φασί, τὸ κατατεφρωθὲν μέρος ἐκ τῆς σποδοῦ τῆς
Catana they-say the ash-covered part from the ash the
ἀνενεχθείσης ὑπὸ τοῦ Αἰτναίου πυρὸς εὐάμπελον τὴν γῆν
brought-up by the Aetnaean fire good-for-vines the land
ἐποίησεν. ἔχει μὲν γὰρ τὸ λιπαῖνον καὶ τὴν ἐκπυρουμένην
made has indeed for the fattening both the burning
βῶλον καὶ τὴν ἐκφέρουσαν τοὺς καρπούς· πλεονάζουσα
soil and the bearing the fruits abounding
μὲν οὖν τῷ λίπει πρὸς ἐκπύρωσιν ἐπιτηδεία, καθάπερ
indeed then with-the fat for burning suitable as
ἡ θειώδης πᾶσα, ἐξικμασθεῖσα δὲ καὶ λαβοῦσα σβέσιν
the sulfurous all having-been-dried-out but and having-taken quenching
καὶ ἐκτέφρωσιν εἰς καρπογονίαν μετέβαλε. συνεχὲς δέ
and reduction-to-ash into fruit-bearing changed adjoining and
ἐστι τῇ Πομπηίᾳ τὸ Συρρεντὸν τῶν Καμπανῶν, ὅθεν
is — to-Pompeii — Surrentum of-the Campani whence
πρόκειται τὸ Ἀθήναιον, ὅ τινες Σειρηνουσσῶν ἀκρωτήριον
juts-out the Athenaeum which some of-Sirenussae headland

καλοῦσιν· ἔστι δὲ ἐπ᾽ ἄκρῳ μὲν Ἀθηνᾶς ἱερόν, ἵδρυμα
call is and on summit indeed of-Athena temple foundation
Ὀδυσσέως. διάπλους δ᾽ ἐνθένδε βραχὺς εἰς Καπρέας νῆσον.
of-Odysseus passage and from-here short to Capreae island
κάμψαντι δὲ τὴν ἄκραν νησῖδές εἰσιν ἔρημοι πετρώδεις
for-one-having-turned and the headland islets are desert rocky
ἃς καλοῦσι Σειρῆνας. ἐκ δὲ τοῦ πρὸς Συρρεντὸν μέρους
which they-call Sirens from and the toward Surrentum part
ἱερόν τι δείκνυται καὶ ἀναθήματα παλαιὰ τιμώντων
temple some is-shown and dedications old honoring
τῶν πλησίον τόπον. μέχρι μὲν δεῦρο ἔχει τέλος ὁ
those near place as-far-as indeed here has end the
κόλπος ὁ κρατὴρ προσαγορευόμενος, ἀφοριζόμενος δυσὶν
gulf the Crater called marked-off by-two
ἀκρωτηρίοις βλέπουσι πρὸς μεσημβρίαν, τῷ τε Μισηνῷ
headlands looking toward south the both Misenum
καὶ τῷ Ἀθηναίῳ. ἅπας δ᾽ ἐστὶ κατεσκευασμένος τοῦτο
and the Athenaeum all and is built-up partly
μὲν ταῖς πόλεσιν ἃς ἔφαμεν, τοῦτο δὲ ταῖς οἰκοδομίαις
indeed with-the cities which we-said partly but with-the buildings
καὶ φυτείαις, αἳ μεταξὺ συνεχεῖς οὖσαι μιᾶς πόλεως
and plantations which between continuous being of-one city
ὄψιν παρέχονται.
appearance present

9 τοῦ μὲν οὖν Μισηνοῦ πρόκειται νῆσος ἡ Προχύτη,
of-the indeed then Misenum lies-before island — Prochyta
Πιθηκουσσῶν δ᾽ ἔστιν ἀπόσπασμα. Πιθηκούσσας δ᾽
of-Pithecussae and is fragment Pithecussae and
Ἐρετριεῖς ᾤκισαν καὶ Χαλκιδεῖς, εὐτυχήσαντες δι᾽
Eretrians settled and Chalcidians having-prospered because-of
εὐκαρπίαν καὶ διὰ τὰ χρυσεῖα ἐξέλιπον τὴν νῆσον κατὰ
fruitfulness and because-of the gold-mines left the island by

στάσιν, ὕστερον δὲ καὶ ὑπὸ σεισμῶν ἐξελαθέντες καὶ
faction later and also by earthquakes driven-out and
ἀναφυσημάτων πυρὸς καὶ θαλάττης καὶ θερμῶν ὑδάτων·
eruptions of-fire and sea and hot waters
ἔχει γὰρ τοιαύτας ἀποφορὰς ἡ νῆσος, ὑφ' ὧν καὶ οἱ
has for such emissions the island by which also those
πεμφθέντες παρὰ Ἱέρωνος τοῦ τυράννου τῶν Συρακοσίων
sent from Hiero the tyrant of-the Syracusans
ἐξέλιπον τὸ κατασκευασθὲν ὑφ' ἑαυτῶν τεῖχος καὶ τὴν
left the built by themselves wall and the
νῆσον· ἐπελθόντες δὲ Νεαπολῖται κατέσχον. ἐντεῦθεν καὶ
island having-come and Neapolitans occupied from-here also
ὁ μῦθος ὅτι φασὶ τὸν Τυφῶνα ὑποκεῖσθαι τῇ νήσῳ ταύτῃ,
the myth that they-say — Typhon to-lie-under the island this
στρεφομένου δὲ τὰς φλόγας ἀναφυσᾶσθαι καὶ τὰ ὕδατα,
turning and the flames to-be-blown-up and the waters
ἔστι δ' ὅτε καὶ νησῖδας ἐχούσας ζέον ὕδωρ. πιθανώτερον
it-is and when also islets having boiling water more-persuasively
δὲ Πίνδαρος εἴρηκεν ἐκ τῶν φαινομένων ὁρμηθείς, ὅτι
but Pindar has-said from the phenomena having-started that
πᾶς ὁ πόρος οὗτος ἀπὸ τῆς Κυμαίας ἀρξάμενος μέχρι
all the strait this from the Cumaean having-begun as-far-as
τῆς Σικελίας διάπυρός ἐστι καὶ κατὰ βάθους ἔχει κοιλίας
— Sicily fiery is and in depth has cavities
τινὰς εἰς ἓν συναπτούσας πρός τε ἀλλήλας καὶ πρὸς τὴν
some into one joining with both one-another and with the
ἤπειρον. διόπερ ἥ τε Αἴτνη τοιαύτην ἔχειν δείκνυται φύσιν
mainland wherefore the both Aetna such to-have is-shown nature
οἵαν ἱστοροῦσιν ἅπαντες, καὶ αἱ τῶν Λιπαραίων νῆσοι καὶ
as record all and the of-the Liparaeans islands and
τὰ περὶ τὴν Δικαιάρχειαν καὶ Νεάπολιν καὶ Βαίας χωρία
the about — Dicaearchia and Neapolis and Baiae places

καὶ αἱ Πιθηκοῦσσαι. ταῦτ' οὖν διανοηθεὶς τῷ παντὶ
and — Pithecussae these-things then having-considered to-the whole
τόπῳ τούτῳ φησὶν ὑποκεῖσθαι τὸν Τυφῶνα "νῦν γε μὰν
place this he-says to-lie-under — Typhon now at-least indeed
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει
the both above Cyme sea-fenced cliffs Sicily and his presses
στέρνα λαχνάεντα." καὶ Τίμαιος δὲ περὶ τῶν Πιθηκουσσῶν
breast shaggy and Timaeus and about — Pithecussae
φησιν ὑπὸ τῶν παλαιῶν πολλὰ παραδοξολογεῖσθαι, μικρὸν
says by the ancients many-things to-be-told-as-marvels a-little
δὲ πρὸ ἑαυτοῦ τὸν Ἐπωπέα λόφον ἐν μέσῃ τῇ νήσῳ
and before himself the Epopeus hill in middle the island
τιναγέντα ὑπὸ σεισμῶν ἀναβαλεῖν πῦρ καὶ τὸ μεταξὺ
shaken by earthquakes to-have-thrown-up fire and the between
αὐτοῦ καὶ τῆς θαλάττης ἐξῶσαι ἐπὶ τὸ πέλαγος, τὸ
it and the sea to-have-pushed-out to the open-sea the
δ' ἐκτεφρωθὲν τῆς γῆς μετεωρισμὸν λαβὸν κατασκῆψαι
and ash-turned of-the earth rising having-taken to-have-come-down
πάλιν τυφωνοειδῶς εἰς τὴν νῆσον, καὶ ἐπὶ τρεῖς τὴν
again whirlwind-like on the island and for three the
θάλατταν ἀναχωρῆσαι σταδίους, ἀναχωρήσασαν δὲ μετ'
sea to-have-withdrawn stades having-withdrawn and after
οὐ πολὺ ὑποστρέψαι καὶ τῇ παλιρροίᾳ κατακλύσαι
not long to-have-turned-back and by-the reflux to-have-flooded
τὴν νῆσον, καὶ γενέσθαι σβέσιν τοῦ ἐν αὐτῇ πυρός·
the island and to-have-come extinction of-the in it fire
ἀπὸ δὲ τοῦ ἤχου τοὺς ἐν τῇ ἠπείρῳ φυγεῖν ἐκ τῆς
from and the noise those on the mainland to-have-fled from the
παραλίας εἰς τὴν Καμπανίαν. δοκεῖ δὲ τὰ θερμὰ ὕδατα
coast into — Campania seems and the hot waters
ἐνταῦθα θεραπεύειν τοὺς λιθιῶντας. αἱ δὲ Καπρέαι δύο
here to-cure those suffering-from-stones — and Capreae two

πολίχνας εἶχον τὸ παλαιόν, ὕστερον δὲ μίαν. Νεαπολῖται
small-towns had the of-old later but one Neapolitans
δὲ καὶ ταύτην κατέσχον, πολέμῳ δὲ ἀποβαλόντες τὰς
and also this occupied in-war and having-lost —
Πιθηκούσσας ἀπέλαβον πάλιν, δόντος αὐτοῖς Καίσαρος
Pithecussae received-back again having-given to-them Caesar
τοῦ Σεβαστοῦ, τὰς δὲ Καπρέας ἴδιον ποιησαμένου κτῆμα
— Augustus — and Capreae own having-made possession
καὶ κατοικοδομήσαντος. αἱ μὲν οὖν παράλιοι πόλεις τῶν
and having-built-up the indeed then coastal cities of-the
Καμπανῶν καὶ αἱ προκείμεναι νῆσοι τοιαῦται.
Campani and the lying-before islands such

XI · CAPUA, THE SAMNITES, AND THE PICENTES

Inland Capua is the head of Campania; at Casilinum the Praenestines held out against Hannibal so long that a mouse sold for two hundred drachmas. The other Campanian cities are named. The Samnites, once raiding as far as Ardea, were destroyed by Sulla, who massacred those who surrendered, holding that Rome would never be at peace while they held together; their cities are now villages. They are said to descend from Sabine children dedicated to Ares and led by a bull, and their law gives the best young men the best maidens in marriage. Luxury ruined the Campani, and Hannibal's army; the Picentes on the Posidoniate gulf, punished for joining Hannibal, end the old Italy at the Silaris.

Ἐν δὲ τῇ μεσογαίᾳ Καπύη μέν ἐστιν ἡ μητρόπολις, 10
in and the interior Capua indeed is the mother-city
κεφαλὴ τῷ ὄντι κατὰ τὴν ἐτυμότητα τοῦ ὀνόματος· τὰ
head in-the reality according-to the etymology of-the name the
γὰρ ἄλλα πολίχνια νομίζοιτ' ἂν κατὰ τὴν σύγκρισιν
for other small-towns would-be-considered — in the comparison
πλὴν Τεάνου Σιδικίνου· καὶ γὰρ αὕτη ἀξιόλογος. κεῖται
except Teanum Sidicinum and for this considerable it-lies

δ' ἐπὶ τῇ ὁδῷ τῇ Ἀππίᾳ αὕτη τε καὶ τῶν ἄλλων αἱ
and on the road the Appian this both and of-the others those
ἐπὶ Βρεντέσιον ἄγουσαι ἀπ' αὐτῆς, Καλατία καὶ Καύδιον
to Brentesium leading from it Calatia and Caudium
καὶ Βενεουεντόν· ἐπὶ δὲ Ῥώμης Κασιλῖνον ἵδρυται
and Beneventum toward and Rome Casilinum is-set
ἐπὶ τῷ Οὐουλτούρνῳ ποταμῷ, ἐν ᾗ πολιορκούμενοι
on the Vulturnus river in which being-besieged
Πραινεστίνων ἄνδρες τετταράκοντα καὶ πεντακόσιοι
of-Praenestines men forty and five-hundred
πρὸς ἀκμάζοντα Ἀννίβαν ἐπὶ τοσοῦτον ἀντέσχον, ὥσθ'
against at-his-peak Hannibal to so-great held-out so-that
ὑπὸ λιμοῦ διακοσίων δραχμῶν πραθέντος μυός, ὁ
through famine for-two-hundred drachmas having-been-sold mouse the
μὲν πωλήσας ἀπέθανεν, ἐσώθη δ' ὁ πριάμενος. ἰδὼν
indeed having-sold died was-saved but the having-bought seeing
δ' αὐτοὺς πλησίον τοῦ τείχους σπείροντας γογγύλην
and them near the wall sowing turnip
ἐθαύμαζεν, ὡς ἔοικεν, ὁ Ἀννίβας τῆς μακροθυμίας,
wondered as it-seems — Hannibal at-the patience
εἰ ἐλπίζοιεν τέως ἀνθέξειν ἕως τελεσφορήσειεν ἡ
if they-hoped so-long to-hold-out until should-ripen the
γογγύλη· καὶ δὴ περιγενέσθαι πάντας φασὶ πλὴν
turnip and indeed to-have-survived all they-say except
ἀνδρῶν ὀλίγων τῶν ἢ λιμῷ διαλυθέντων ἢ ἐν ταῖς
men few those either by-famine having-perished or in the
μάχαις.
battles

11 πρὸς δὲ ταῖς ῥηθείσαις ἔτι καὶ αὗται Καμπαναὶ πόλεις
besides and the said further also these Campanian cities
εἰσὶν ὧν ἐμνήσθημεν πρότερον, Κάλης τε καὶ Τέανον
are of-which we-made-mention before Cales both and Teanum

Σιδικῖνον, ἃς διορίζουσιν αἱ δύο Τύχαι ἐφ' ἑκάτερα
Sidicinum which separate the two Fortunes on each-side
ἱδρυμέναι τῆς Λατίνης ὁδοῦ, καὶ ἔτι Σουέσσουλα καὶ
situated of-the Latin road and further Suessula and
Ἀτέλλα καὶ Νῶλα καὶ Νουκερία καὶ Ἀχέρραι καὶ Ἀβέλλα
Atella and Nola and Nuceria and Acerrae and Abella
καὶ ἄλλαι ἔτι ἐλάττους τούτων κατοικίαι, ὧν ἐνίας
and other further smaller than-these settlements of-which some
Σαυνίτιδάς φασιν εἶναι. Σαυνῖται δὲ πρότερον μὲν καὶ
Samnite they-say to-be Samnites and formerly indeed even
μέχρι τῆς Λατίνης τῆς περὶ Ἀρδέαν ἐξοδίας ποιούμενοι,
as-far-as — Latina the about Ardea expeditions making
μετὰ δὲ ταῦτα αὐτὴν τὴν Καμπανίαν πορθοῦντες
after and these-things itself — Campania plundering
πολλὴν ἐκέκτηντο δύναμιν· καὶ γὰρ ἄλλως δεσποτικῶς
great had-acquired power and for otherwise despotically
ἄρχεσθαι μεμαθηκότες ταχὺ ὑπούργουν τοῖς προστάγμασι.
to-be-ruled having-learned quickly they-submitted to-the orders
νυνὶ δ' ἐκπεπόνηνται τελέως ὑπό τε ἄλλων καὶ τὸ
now but they-have-been-worn-out completely by both others and the
τελευταῖον ὑπὸ Σύλλα τοῦ μοναρχήσαντος Ῥωμαίων,
last by Sulla the(-one) having-been-sole-ruler of-Romans
ὃς ἐπειδὴ πολλαῖς μάχαις καταλύσας τὴν τῶν Ἰταλιωτῶν
who when in-many battles having-put-down the of-the Italiotes
ἐπανάστασιν τούτους σχεδόν τι μόνους συμμένοντας
revolt these nearly somewhat alone holding-together
ἑώρα καὶ ὁμοίως ὁρμῶντας, ὥστε καὶ ἐπ' αὐτὴν τὴν
he-saw and likewise setting-out so-that even against itself —
Ῥώμην ἐλθεῖν, συνέστη πρὸ τοῦ τείχους αὐτοῖς, καὶ τοὺς
Rome to-come joined-battle before the wall with-them and the(-ones)
μὲν ἐν τῇ μάχῃ κατέκοψε κελεύσας μὴ ζωγρεῖν τοὺς
indeed in the battle cut-down having-ordered not to-take-alive the(-others)

δὲ ῥίψαντας τὰ ὅπλα, περὶ τρισχιλίους ἄνδρας ἢ
but having-thrown-down the arms about three-thousand men or
τετρακισχιλίους φασίν, εἰς τὴν δημοσίαν ἔπαυλιν τὴν ἐν
four-thousand they-say into the public villa the in
τῷ Κάμπῳ καταγαγὼν εἶρξε· τρισὶ δὲ ὕστερον ἡμέραις
the Campus having-brought-down shut-up three and later days
ἐπιπέμψας στρατιώτας ἅπαντας ἀπέσφαξε, προγραφάς
having-sent-in soldiers all slaughtered proscriptions
τε ποιούμενος οὐκ ἐπαύσατο πρὶν ἢ πάντας τοὺς ἐν
both making not stopped before than all those in
ὀνόματι Σαυνιτῶν διέφθειρεν ἢ ἐκ τῆς Ἰταλίας ἐξέβαλε·
name of-Samnites he-destroyed or from — Italy cast-out
πρὸς δὲ τοὺς αἰτιωμένους τὴν ἐπὶ τοσοῦτον ὀργὴν ἔφη
to and those blaming the to so-great anger he-said
καταμαθεῖν ἐκ τῆς πείρας, ὡς οὐδέποτ' ἂν εἰρήνην
to-have-learned from the experience that never — peace
ἀγάγοι Ῥωμαίων οὐδὲ εἷς, ἕως ἂν συμμένωσι καθ'
would-keep of-Romans not-even one as-long — they-hold-together by
ἑαυτοὺς Σαυνῖται. τοιγάρ τοι νυνὶ κῶμαι γεγόνασιν αἱ
themselves Samnites therefore indeed now villages have-become the
πόλεις· ἔνιαι δ' ἐκλελοίπασι τελέως, Βοιανὸν Αἰσερνία
cities some and have-died-out completely Bovianum Aesernia
Πάννα Τελεσία συνεχὴς Οὐενάφρῳ καὶ ἄλλαι τοιαῦται,
Panna Telesia adjoining Venafrum and others such
ὧν οὐδεμίαν ἄξιον ἡγεῖσθαι πόλιν· ἡμεῖς δ' ἐπέξιμεν
of-which none worthy to-consider city we but shall-go-through
μέχρι τοῦ μετρίου διὰ τὴν τῆς Ἰταλίας δόξαν καὶ
as-far-as the moderate because-of the — of-Italy fame and
δύναμιν. Βενεουεντὸν δ' ὅμως συνέστηκεν εὖ καὶ
power Beneventum but nevertheless has-held-together well and
Οὐενουσία.
Venusia

περὶ δὲ Σαυνιτῶν καὶ τοιοῦτός τις λόγος φέρεται, διότι 12
about and Samnites also such some account is-current that
πολεμοῦντες Σαβῖνοι πολὺν χρόνον πρὸς τοὺς Ὀμβρικοὺς
warring Sabini long time against the Ombrici
εὔξαντο, καθάπερ τῶν Ἑλλήνων τινές, τὰ γενόμενα τῷ
vowed as of-the Greeks some the-things born in-the
ἔτει τούτῳ καθιερῶσαι, νικήσαντες δὲ τῶν γενομένων
year this to-dedicate having-won and of-the-things born
τὰ μὲν κατέθυσαν τὰ δὲ καθιέρωσαν· ἀφορίας
the(-ones) indeed they-sacrificed the(-others) but they-dedicated barrenness
δὲ γενηθείσης, εἶπέ τις ὡς ἐχρῆν καθιερῶσαι καὶ
and having-occurred said someone that it-was-needful to-dedicate also
τὰ τέκνα. οἱ δ' ἐποίησαν τοῦτο καὶ τοὺς γενομένους
the children they and did this and those born
τότε παῖδας Ἄρεως ἐπεφήμισαν, ἀνδρωθέντας δ'
then children of-Ares proclaimed having-grown-to-manhood and
ἔστειλαν εἰς ἀποικίαν, ἡγήσατο δὲ ταῦρος· ἐν δὲ τῇ
they-sent to colony led and bull in and the
τῶν Ὀπικῶν κατευνασθέντος (ἐτύγχανον δὲ κωμηδὸν
of-the Opici having-lain-down they-happened and village-by-village
ζῶντες) ἐκβαλόντες ἐκείνους ἱδρύθησαν αὐτόθι καὶ τὸν
living having-cast-out those they-were-settled there and the
ταῦρον ἐσφαγίασαν τῷ Ἄρει τῷ δόντι αὐτὸν
bull sacrificed — to-Ares the(-one) having-given it
ἡγεμόνα κατὰ τὴν τῶν μάντεων ἀπόφασιν. εἰκὸς
as-leader according-to the of-the seers declaration likely
δὲ διὰ τοῦτο καὶ Σαβέλλους αὐτοὺς ὑποκοριστικῶς
and because-of this also Sabelli them diminutively
ἀπὸ τῶν γονέων προσαγορευθῆναι, Σαμνίτας δ' ἀπ'
from the parents to-have-been-called Samnitae and from
ἄλλης αἰτίας, οὓς οἱ Ἕλληνες Σαυνίτας λέγουσι. τινὲς
another cause whom the Greeks Saunitae call some

δὲ καὶ Λάκωνας συνοίκους αὐτοῖς γενέσθαι φασὶ καὶ
and also Laconians fellow-settlers with-them to-have-become say and
διὰ τοῦτο καὶ φιλέλληνας ὑπάρξαι, τινὰς δὲ καὶ
because-of this also philhellenes to-have-been some and also
Πιτανάτας καλεῖσθαι. δοκεῖ δὲ καὶ Ταραντίνων πλάσμα
Pitanatae to-be-called seems and also of-Tarentines fabrication
τοῦτ' εἶναι, κολακευόντων ὁμόρους καὶ μέγα δυναμένους
this to-be flattering neighboring and greatly powerful
ἀνθρώπους καὶ ἅμα ἐξοικειουμένων, οἵ γε καὶ ὀκτὼ
men and at-once making-them-their-own who at-least also eight
μυριάδας ἔστελλόν ποτε τῆς πεζῆς στρατιᾶς, ἱππέας
myriads sent once of-the infantry army horsemen
δ' ὀκτακισχιλίους. φασὶ δὲ νόμον εἶναι παρὰ τοῖς
and eight-thousand they-say and law to-be among the
Σαυνίταις καλὸν καὶ προτρεπτικὸν πρὸς ἀρετήν· οὐ γὰρ
Samnites fine and encouraging toward virtue not for
ἔξεστι διδόναι τὰς θυγατέρας οἷς ἂν ἐθέλωσιν,
it-is-allowed to-give the daughters to-whomever — they-wish
ἀλλὰ κρίνεσθαι κατὰ ἔτος δέκα μὲν παρθένους δέκα
but to-be-judged by year ten indeed maidens ten
δὲ τῶν νέων τοὺς ἀρίστους καὶ τὰς ἀρίστας· τούτων
and of-the young-men the best and the best of-these
τῷ πρώτῳ τὴν πρώτην δίδοσθαι, τῷ δευτέρῳ τὴν
to-the first the first to-be-given to-the second the
δευτέραν καὶ ἑξῆς οὕτως· ἐὰν δ' ὁ λαβὼν τὸ
second and next so if but the having-received the
γέρας μεταβαλόμενος γένηται πονηρός, ἀτιμάζουσι καὶ
prize having-changed become bad they-dishonor and
ἀφαιροῦνται τὴν δοθεῖσαν. ἑξῆς δ' εἰσὶν Ἱρπῖνοι, καὐτοὶ
take-away the given next and are Hirpini also-themselves
Σαυνῖται· τοὔνομα δ' ἔσχον ἀπὸ τοῦ ἡγησαμένου λύκου
Samnites the-name and they-got from the having-led wolf

τῆς ἀποικίας· ἵρπον γὰρ καλοῦσιν οἱ Σαυνῖται τὸν λύκον·
of-the colony hirpus for call the Samnites the wolf
συνάπτουσι δὲ Λευκανοῖς τοῖς μεσογαίοις. περὶ μὲν
they-join and with-Leucani the inland about indeed
Σαυνιτῶν ταῦτα.
Samnites these-things
Καμπανοῖς δὲ συνέβη διὰ τὴν τῆς χώρας εὐδαιμονίαν 13
to-Campani and it-befell because-of the of-the country prosperity
ἐπ᾽ ἴσον ἀγαθῶν ἀπολαῦσαι καὶ κακῶν. ἐπὶ τοσοῦτον
on equal goods to-enjoy and evils to so-great
γὰρ ἐξετρύφησαν ὥστ᾽ ἐπὶ δεῖπνον ἐκάλουν πρὸς
for they-lived-in-luxury so-that to dinner they-invited with
ζεύγη μονομάχων, ὁρίζοντες ἀριθμὸν κατὰ τὴν τῶν
pairs of-gladiators fixing number according-to the of-the
δείπνων ἀξίαν. Ἀννίβα δ᾽ ἐξ ἐνδόσεως λαβόντος αὐτούς,
dinners rank Hannibal and by surrender having-taken them
δεξάμενοι χειμαδίοις τὴν στρατιὰν οὕτως ἐξεθήλυναν
having-received in-winter-quarters the army so effeminated
ταῖς ἡδοναῖς ὥσθ᾽ ὁ Ἀννίβας ἔφη νικῶν κινδυνεύειν
with-the pleasures so-that — Hannibal said winning to-run-risk
ἐπὶ τοῖς ἐχθροῖς γενέσθαι, γυναῖκας ἀντὶ τῶν
in-the-power-of the enemies to-become women instead-of the
ἀνδρῶν τοὺς στρατιώτας ἀπολαβών. Ῥωμαῖοι δὲ
men the soldiers having-received-back Romans and
κρατήσαντες πολλοῖς κακοῖς ἐσωφρόνισαν αὐτούς, ὕστατα
having-prevailed with-many evils brought-to-their-senses them lastly
δὲ καὶ κατεκληρούχησαν τὴν γῆν. νυνὶ μέντοι μετ᾽
and also allotted the land now however with
εὐπραγίας διάγουσι τοῖς ἐποίκοις ὁμονοήσαντες, καὶ τὸ
prosperity they-live with-the colonists having-agreed and the
ἀξίωμα φυλάττουσι τὸ ἀρχαῖον καὶ τῷ μεγέθει τῆς
dignity keep the ancient both in-the size of-the

πόλεως καὶ κατ᾽ εὐανδρίαν. μετὰ δὲ τὴν Καμπανίαν
city and in populousness after and — Campania
καὶ τὴν Σαυνῖτιν ἐπὶ μὲν τῇ Τυρρηνικῇ θαλάττῃ τὸ
and — Samnitis on indeed the Tyrrhenian sea the
τῶν Πικέντων ἔθνος οἰκεῖ, μικρὸν ἀπόσπασμα τῶν
of-the Picentes nation dwells small offshoot of-the
ἐν τῷ Ἀδρίᾳ Πικεντίνων, ὑπὸ Ῥωμαίων μετῳκισμένον
on the Adrias Picentini by Romans transplanted
εἰς τὸν Ποσειδωνιάτην κόλπον, ὃς νῦν Παιστανὸς
to the Posidoniate gulf which now Paestan
καλεῖται, καὶ ἡ πόλις ἡ Ποσειδωνία Παιστός, ἐν μέσῳ
is-called and the city — Posidonia Paestus in middle
τῷ κόλπῳ κειμένη. μεταξὺ δὲ τῶν Σειρηνουσσῶν καὶ
the gulf lying between and — Sirenussae and
τῆς Ποσειδωνίας Μαρκῖνα, Τυρρηνῶν κτίσμα οἰκούμενον
— Posidonia Marcina of-Tyrrhenians foundation inhabited
ὑπὸ Σαυνιτῶν. ἐντεῦθεν εἰς Πομπηίαν διὰ Νουκερίας
by Samnites from-here to Pompeii through Nuceria
οὐ πλειόνων ἑκατὸν καὶ εἴκοσι σταδίων ἐστὶν ὁ
not of-more than-a-hundred and twenty stades is the
ἰσθμός. διήκουσι δ᾽ οἱ Πίκεντες μέχρι τοῦ Σιλάριδος
isthmus extend and the Picentes as-far-as the Silaris
ποταμοῦ τοῦ ὁρίζοντος ἀπὸ ταύτης τῆς χώρας τὴν
river the(-one) bounding from this the country the
ἀρχαίαν Ἰταλίαν, ἐφ᾽ οὗ τοῦτ᾽ ἴδιον ἱστοροῦσιν περὶ
ancient Italy on which this peculiar they-record about
τοῦ ὕδατος ὄντος ποτίμου, τὸ καθιέμενον εἰς αὐτὸ φυτὸν
the water being drinkable the being-let-down into it plant
ἀπολιθοῦσθαι φυλάττον τὴν χρόαν καὶ τὴν μορφήν.
to-be-turned-to-stone keeping the color and the shape
τῶν δὲ Πικέντων ὑπῆρχε μητρόπολις Πικεντία, νυνὶ δὲ
of-the and Picentes was mother-city Picentia now but

κωμηδὸν ζῶσιν ἀπωσθέντες ὑπὸ Ῥωμαίων διὰ
village-by-village they-live having-been-thrust-out by Romans because-of
τὴν πρὸς Ἀννίβαν κοινωνίαν· ἀντὶ δὲ στρατείας
the toward Hannibal partnership instead-of and military-service
ἡμεροδρομεῖν καὶ γραμματοφορεῖν ἀπεδείχθησαν ἐν τῷ
to-run-as-couriers and to-carry-letters they-were-appointed in the
τότε δημοσίᾳ, καθάπερ καὶ Λευκανοὶ καὶ Βρέττιοι κατὰ
then publicly as also Leucani and Bruttii for
τὰς αὐτὰς αἰτίας· ἐπετείχισαν δ' αὐτοῖς Σάλερνον
the same causes built-as-a-fortress and against-them Salernum
Ῥωμαῖοι φρουρᾶς χάριν μικρὸν ὑπὲρ τῆς θαλάττης·
Romans of-garrison for-the-sake a-little above the sea
εἰσὶ δ' ἀπὸ Σειρηνουσσῶν ἐπὶ Σίλαριν στάδιοι διακόσιοι
are and from Sirenussae to Silaris stades two-hundred
ἑξήκοντα.
sixty

BOOK VII

I · GERMANY AND THE SUEBI

The rest of Europe is divided by the Ister, flowing from the German heights to the Pontus; north of it lie the Germans and the peoples to the Tanais, south of it the Illyrian and Thracian lands. The Germans, beyond the Rhenus, differ little from the Celts but in wildness, size, and fair hair, so that the Romans called them genuine Galatae. Strabo names the peoples between the Rhenus and the Albis: the Suebi, greatest of them, who move easily with their wagons and herds; the Marcomanni under Marobodus in the Hercynian forest; and the Cherusci, who destroyed Varus' three legions and were led in Germanicus' triumph, among them Thusnelda, Armenius' wife, and her son. The Hercynian forest and the lake near the Ister's source follow.

εἰρηκόσι δ' ἡμῖν περὶ τῆς Ἰβηρίας καὶ τῶν Κελτικῶν 1
having-spoken and for-us about — Iberia and the Celtic
ἐθνῶν καὶ τῶν Ἰταλικῶν σὺν ταῖς πλησίον νήσοις ἐφεξῆς ἂν
nations and the Italian with the near islands next —
εἴη λέγειν τὰ λειπόμενα τῆς Εὐρώπης μέρη, διελοῦσι
it-would-be to-tell the remaining — of-Europe parts dividing-them
τὸν ἐνδεχόμενον τρόπον. λείπεται δὲ τὰ πρὸς ἕω μὲν
the possible way remain and the-parts toward east indeed
τὰ πέραν τοῦ Ῥήνου μέχρι τοῦ Τανάιδος καὶ τοῦ στόματος
those beyond the Rhenus as-far-as the Tanais and the mouth
τῆς Μαιώτιδος λίμνης, καὶ ὅσα μεταξὺ τοῦ Ἀδρίου καὶ
of-the Maeotis lake and as-much-as between the Adrias and
τῶν ἀριστερῶν τῆς Ποντικῆς θαλάττης μερῶν ἀπολαμβάνει
the left of-the Pontic sea parts cuts-off
πρὸς νότον μέχρι τῆς Ἑλλάδος καὶ τῆς Προποντίδος ὁ
toward south as-far-as — Hellas and the Propontis the
Ἴστρος· διαιρεῖ γὰρ οὗτος ἅπασαν ὡς ἐγγυτάτω δίχα τὴν
Ister divides for this all as nearly-as-possible in-two the

λεχθεῖσαν γῆν, μέγιστος τῶν κατὰ τὴν Εὐρώπην ποταμῶν,
said land greatest of-the in — Europe rivers
ῥέων πρὸς νότον κατ᾽ ἀρχάς, εἶτ᾽ ἐπιστρέφων εὐθὺς ἀπὸ
flowing toward south at beginnings then turning straight from
τῆς δύσεως ἐπὶ τὴν ἀνατολὴν καὶ τὸν Πόντον. ἄρχεται μὲν
the west to the east and the Pontus it-begins indeed
οὖν ἀπὸ τῶν Γερμανικῶν ἄκρων τῶν ἑσπερίων, πλησίον δὲ
then from the German heights the western near and
καὶ τοῦ μυχοῦ τοῦ Ἀδριατικοῦ, διέχων αὐτοῦ περὶ χιλίους
also the recess the Adriatic distant from-it about a-thousand
σταδίους· τελευτᾷ δ᾽ εἰς τὸν Πόντον οὐ πολὺ ἄπωθεν
stades it-ends and into the Pontus not far off
τῶν τοῦ Τύρα καὶ τοῦ Βορυσθένους ἐκβολῶν, ἐκκλίνων
from-the of-the Tyras and the Borysthenes mouths inclining
πως πρὸς ἄρκτους. προσάρκτια μὲν οὖν ἐστι τῷ Ἴστρῳ
somehow toward north northern indeed then are to-the Ister
τὰ πέραν τοῦ Ῥήνου καὶ τῆς Κελτικῆς· ταῦτα δ᾽ ἐστὶ
the-parts beyond the Rhenus and — Celtica these and are
τά τε Γαλατικὰ ἔθνη καὶ τὰ Γερμανικὰ μέχρι Βασταρνῶν
the both Galatic nations and the German as-far-as Bastarnae
καὶ Τυρεγετῶν καὶ τοῦ ποταμοῦ τοῦ Βορυσθένους, καὶ
and Tyregetae and the river the Borysthenes and
ὅσα μεταξὺ τούτου καὶ Τανάιδος καὶ τοῦ στόματος
as-much-as between this and Tanais and the mouth
τῆς Μαιώτιδος εἴς τε τὴν μεσόγαιαν ἀνατείνει μέχρι τοῦ
of-the Maeotis into both the interior reaches-up as-far-as the
ὠκεανοῦ καὶ τῇ Ποντικῇ κλύζεται θαλάττῃ· μεσημβρινὰ
ocean and by-the Pontic is-washed sea southern
δὲ τά τε Ἰλλυρικὰ καὶ τὰ Θρᾴκια καὶ ὅσα τούτοις
and the both Illyrian and the Thracian and as-much-as with-these
ἀναμέμικται τῶν Κελτικῶν ἤ τινων ἄλλων, μέχρι τῆς
has-been-mingled of-the Celtic or of-some others as-far-as —

Ἑλλάδος. λέγωμεν δὲ πρῶτον περὶ τῶν ἐκτὸς τοῦ Ἴστρου·
Hellas let-us-speak and first about the-parts outside the Ister
πολὺ γὰρ ἁπλούστερα τῶν ἐπὶ θάτερα μερῶν ἐστιν.
much for simpler than-those on the-other parts are
εὐθὺς τοίνυν τὰ πέραν τοῦ Ῥήνου μετὰ τοὺς Κελτοὺς 2
straightway then the-parts beyond the Rhenus after the Celts
πρὸς τὴν ἕω κεκλιμένα Γερμανοὶ νέμονται, μικρὸν
toward the east sloping Germans inhabit a-little
ἐξαλλάττοντες τοῦ Κελτικοῦ φύλου τῷ τε πλεονασμῷ
differing from-the Celtic stock in-the both excess
τῆς ἀγριότητος καὶ τοῦ μεγέθους καὶ τῆς ξανθότητος,
of-the wildness and of-the size and of-the yellowness
τἆλλα δὲ παραπλήσιοι καὶ μορφαῖς καὶ ἤθεσι καὶ
in-other-respects but similar both in-forms and in-customs and
βίοις ὄντες, οἵους εἰρήκαμεν τοὺς Κελτούς. διὸ δὴ
in-lives being such-as we-have-described the Celts wherefore indeed
καί μοι δοκοῦσι Ῥωμαῖοι τοῦτο αὐτοῖς θέσθαι τοὔνομα
also to-me seem Romans this to-them to-have-given the-name
ὡς ἂν γνησίους Γαλάτας φράζειν βουλόμενοι· γνήσιοι γὰρ
as — genuine Galatae to-indicate wishing genuine for
οἱ Γερμανοὶ κατὰ τὴν Ῥωμαίων διάλεκτον.
the Germans in the of-Romans dialect
ἔστι δὲ τὰ μὲν πρῶτα μέρη τῆς χώρας ταύτης τὰ πρὸς 3
are and the indeed first parts of-the country this those near
τῷ Ῥήνῳ μέχρι τῶν ἐκβολῶν ἀπὸ τῆς πηγῆς ἀρξαμένοις·
the Rhenus as-far-as the mouths from the source for-those-beginning
σχεδὸν δέ τι καὶ τοῦτ' ἔστι τὸ ἑσπέριον τῆς χώρας
nearly and somewhat also this is the western of-the country
πλάτος, ἡ ποταμία πᾶσα. ταύτης δὲ τὰ μὲν εἰς
breadth the river-land all of-this and the(-parts) indeed into
τὴν Κελτικὴν μετήγαγον Ῥωμαῖοι, τὰ δ' ἔφθη
— Celtica transferred Romans the(-parts) but anticipated

μεταστάντα εἰς τὴν ἐν βάθει χώραν, καθάπερ Μαρσοί·
having-migrated into the in depth country as Marsi
λοιποὶ δ' εἰσὶν ὀλίγοι καὶ τῶν Σουγάμβρων μέρος. μετὰ
remaining and are few also of-the Sugambri part after
δὲ τοὺς παραποταμίους τἆλλά ἐστιν ἔθνη τὰ μεταξὺ τοῦ
and the river-dwellers the-other are nations those between the
Ῥήνου καὶ τοῦ Ἄλβιος ποταμοῦ, ὃς παράλληλός πως
Rhenus and the Albis river which parallel somehow
ἐκείνῳ ῥεῖ πρὸς τὸν ὠκεανόν, οὐκ ἐλάττω χώραν διεξιὼν
to-that flows toward the ocean not less country passing-through
ἤπερ ἐκεῖνος. εἰσὶ δὲ μεταξὺ καὶ ἄλλοι ποταμοὶ πλωτοὶ
than that are and between also other rivers navigable
(ὧν ἐν τῷ Ἀμασίᾳ Δροῦσος Βρουκτέρους κατεναυμάχησε),
of-which in the Amasias Drusus Bructeri defeated-at-sea
ῥέοντες ὡσαύτως ἀπὸ νότου πρὸς βορρᾶν καὶ τὸν ὠκεανόν.
flowing likewise from south toward north and the ocean
ἐξῆρται γὰρ ἡ χώρα πρὸς νότον καὶ συνεχῆ ταῖς Ἄλπεσι
is-raised for the country toward south and continuous with-the Alps
ποιεῖ ῥάχιν τινὰ πρὸς ἕω τεταμένην, ὡς ἂν μέρος οὖσαν
makes ridge some toward east stretched as — part being
τῶν Ἄλπεων· καὶ δὴ καὶ ἀπεφήναντό τινες οὕτως διά
of-the Alps and indeed also declared some so because-of
τε τὴν λεχθεῖσαν θέσιν καὶ διὰ τὸ τὴν αὐτὴν ὕλην
both the said position and because-of the the same timber
ἐκφέρειν· οὐ μὴν ἐπὶ τοσοῦτό γε ὕψος ἀνίσχει τὰ ταύτῃ
to-bear not indeed to so-great at-least height rise the here
ὄρη. ἐνταῦθα δ' ἐστὶν ὁ Ἑρκύνιος δρυμὸς καὶ τὰ τῶν
mountains here and is the Hercynian forest and the of-the
Σοήβων ἔθνη, τὰ μὲν οἰκοῦντα ἐντὸς τοῦ δρυμοῦ, ἐν
Suebi nations the(-ones) indeed dwelling inside the forest among
οἷς ἐστι καὶ τὸ Βουίαιμον τὸ τοῦ Μαροβόδου βασίλειον,
whom is also — Buiaemum the — of-Marobodus royal-seat

εἰς ὃν ἐκεῖνος τόπον ἄλλους τε μετανέστησε πλείους καὶ
to which that-one place others both removed several and
δὴ καὶ τοὺς ὁμοεθνεῖς ἑαυτῷ Μαρκομμάνους. ἐπέστη
indeed also those of-same-nation with-himself Marcomanni he-stood-over
γὰρ τοῖς πράγμασιν οὗτος ἐξ ἰδιώτου μετὰ τὴν ἐκ
for the affairs this-one from private-person after the from
Ῥώμης ἐπάνοδον· νέος γὰρ ἦν ἐνθάδε καὶ εὐεργετεῖτο ὑπὸ
Rome return young for he-was here and was-benefited by
τοῦ Σεβαστοῦ, ἐπανελθὼν δὲ ἐδυνάστευσε καὶ κατεκτήσατο
— Augustus having-returned and he-held-power and acquired
πρὸς οἷς εἶπον Λουγίους τε, μέγα ἔθνος, καὶ Ζούμους καὶ
besides whom I-said Lugii both great nation and Zumi and
Γούτωνας καὶ Μουγίλωνας καὶ Σιβίνους καὶ τῶν Σοήβων
Gutones and Mugilones and Sibini and of-the Suebi
αὐτῶν μέγα ἔθνος, Σέμνωνας. πλὴν τά γε τῶν Σοήβων,
themselves great nation Semnones however the at-least of-the Suebi
ὡς ἔφην, ἔθνη τὰ μὲν ἐντὸς οἰκεῖ, τὰ δὲ ἐκτὸς
as I-said nations the(-ones) indeed inside dwell the(-others) but outside
τοῦ δρυμοῦ, ὅμορα τοῖς Γέταις. μέγιστον μὲν οὖν τὸ
the forest bordering on-the Getae greatest indeed then the
τῶν Σοήβων ἔθνος· διήκει γὰρ ἀπὸ τοῦ Ῥήνου μέχρι
of-the Suebi nation it-extends for from the Rhenus as-far-as
τοῦ Ἄλβιος· μέρος δέ τι αὐτῶν καὶ πέραν τοῦ Ἄλβιος
the Albis part and some of-them also beyond the Albis
νέμεται, καθάπερ Ἑρμόνδοροι καὶ Λαγκόβαρδοι· νυνὶ δὲ
inhabits as Hermondori and Langobardi now and
καὶ τελέως εἰς τὴν περαίαν οὗτοί γε ἐκπεπτώκασι
also completely to the opposite-bank these indeed have-been-driven-out
φεύγοντες. κοινὸν δ' ἐστὶν ἅπασι τοῖς ταύτῃ τὸ περὶ τὰς
fleeing common and is to-all those here the about the
μεταναστάσεις εὐμαρὲς διὰ τὴν λιτότητα τοῦ βίου καὶ
migrations easy because-of the simplicity of-the life and

διὰ τὸ μὴ γεωργεῖν μηδὲ θησαυρίζειν, ἀλλ' ἐν καλυβίοις
because-of the not to-farm nor to-store but in huts
οἰκεῖν ἐφήμερον ἔχουσι παρασκευήν· τροφὴ δ' ἀπὸ τῶν
to-dwell for-the-day having equipment food and from the
θρεμμάτων ἡ πλείστη καθάπερ τοῖς νομάσιν, ὥστ' ἐκείνους
flocks the most as for-the nomads so-that those
μιμούμενοι τὰ οἰκεῖα ταῖς ἁρμαμάξαις ἐπάραντες
imitating the household-goods on-the wagons having-raised
ὅπῃ ἂν δόξῃ τρέπονται μετὰ τῶν βοσκημάτων.
wherever — it-seems-good they-turn with the cattle
ἄλλα δ' ἐνδεέστερά ἐστιν ἔθνη Γερμανικὰ Χηροῦσκοί τε
other and poorer are nations German Cherusci both
καὶ Χάττοι καὶ Γαμαβρίουιοι καὶ Χαττουάριοι· πρὸς δὲ
and Chatti and Gamabrivii and Chattuarii near and
τῷ ὠκεανῷ Σούγαμβροί τε καὶ Χαῦβοι καὶ Βρούκτεροι
the ocean Sugambri both and Chaubi and Bructeri
καὶ Κίμβροι Καῦκοί τε καὶ Καοῦλκοι καὶ Καμψιανοὶ
and Cimbri Cauci both and Caulci and Campsiani
καὶ ἄλλοι πλείους. ἐπὶ ταὐτὰ δὲ τῷ Ἀμασίᾳ φέρονται
and others several in the-same and to-the Amasias are-borne
Βίσουργίς τε καὶ Λουπίας ποταμός, διέχων Ῥήνου
Visurgis both and Lupias river distant from-Rhenus
περὶ ἑξακοσίους σταδίους, ῥέων διὰ Βρουκτέρων τῶν
about six-hundred stades flowing through Bructeri the
ἐλαττόνων. ἔστι δὲ καὶ Σάλας ποταμός, οὗ μεταξὺ καὶ
lesser is and also Salas river of-which between also
τοῦ Ῥήνου πολεμῶν καὶ κατορθῶν Δροῦσος ἐτελεύτησεν
the Rhenus warring and succeeding Drusus died
ὁ Γερμανικός. ἐχειρώσατο δ' οὐ μόνον τῶν ἐθνῶν τὰ
the Germanicus subdued and not only of-the nations the

πλεῖστα, ἀλλὰ καὶ τὰς ἐν τῷ παράπλῳ νήσους, ὧν
most but also the in the coasting-voyage islands of-which
ἐστι καὶ ἡ Βυρχανίς, ἣν ἐκ πολιορκίας εἶλε.
is also — Burchanis which from siege he-took
γνώριμα δὲ ταῦτα κατέστη τὰ ἔθνη πολεμοῦντα πρὸς 4
known and these became the nations warring against
Ῥωμαίους, εἶτ' ἐνδιδόντα καὶ πάλιν ἀφιστάμενα ἢ καὶ
Romans then giving-in and again revolting or also
καταλείποντα τὰς κατοικίας· κἂν πλείω δὲ γνώριμα
leaving the settlements and-even more but known
ὑπῆρξεν, εἰ ἐπέτρεπε τοῖς στρατηγοῖς ὁ Σεβαστὸς
would-have-been if allowed the generals — Augustus
διαβαίνειν τὸν Ἄλβιν μετιοῦσι τοὺς ἐκεῖσε ἀπανισταμένους.
to-cross the Albis pursuing those there migrating
νυνὶ δ' εὐπορώτερον ὑπέλαβε στρατηγεῖν τὸν ἐν χερσὶ
now but more-expedient he-supposed to-conduct the in hands
πόλεμον, εἰ τῶν ἔξω τοῦ Ἄλβιος καθ' ἡσυχίαν ὄντων
war if from-the outside the Albis in quiet being
ἀπέχοιτο καὶ μὴ παροξύνοι πρὸς τὴν κοινωνίαν τῆς
he-should-abstain and not provoke to the sharing of-the
ἔχθρας. ἤρξαντο δὲ τοῦ πολέμου Σούγαμβροι πλησίον
enmity began and the war Sugambri near
οἰκοῦντες τοῦ Ῥήνου, Μέλωνα ἔχοντες ἡγεμόνα· κἀκεῖθεν
dwelling the Rhenus Melo having leader and-from-there
ἤδη διεδέχοντο ἄλλοτ' ἄλλοι δυναστεύοντες καὶ
already succeeded at-different-times others holding-power and
καταλυόμενοι, πάλιν δ' ἀφιστάμενοι, προδιδόντες καὶ τὰ
being-put-down again and revolting betraying both the
ὅμηρα καὶ τὰς πίστεις. πρὸς οὓς ἡ μὲν ἀπιστία μέγα
hostages and the pledges against whom the indeed distrust great
ὄφελος, οἱ δὲ πιστευθέντες τὰ μέγιστα κατέβλαψαν,
advantage those but trusted the greatest did-damage

καθάπερ οἱ Χηροῦσκοι καὶ οἱ τούτοις ὑπήκοοι, παρ᾽
as the Cherusci and those to-them subject among
οἷς τρία τάγματα Ῥωμαίων μετὰ τοῦ στρατηγοῦ Οὐάρου
whom three legions of-Romans with the general Varus
Κουιντιλλίου παρασπονδηθέντα ἀπώλετο ἐξ ἐνέδρας.
Quintilius treacherously-attacked perished from ambush
ἔτισαν δὲ δίκας ἅπαντες καὶ παρέσχον τῷ νεωτέρῳ
paid and penalty all and provided to-the younger
Γερμανικῷ λαμπρότατον θρίαμβον, ἐν ᾧ ἐθριαμβεύθη τῶν
Germanicus most-brilliant triumph in which were-led-in-triumph of-the
ἐπιφανεστάτων ἀνδρῶν σώματα καὶ γυναικῶν, Σεγιμοῦντός
most-illustrious men persons and women Segimundus
τε Σεγέστου υἱός, Χηρούσκων ἡγεμών, καὶ ἀδελφὴ αὐτοῦ,
both of-Segestes son of-Cherusci leader and sister his
γυνὴ δ᾽ Ἀρμενίου τοῦ πολεμαρχήσαντος ἐν τοῖς
wife and of-Armenius the(-one) having-been-war-leader among the
Χηρούσκοις ἐν τῇ πρὸς Οὐᾶρον Κουιντίλλιον παρασπονδήσει
Cherusci in the against Varus Quintilius breach-of-truce
καὶ νῦν ἔτι συνέχοντος τὸν πόλεμον, ὄνομα Θουσνέλδα, καὶ
and now still keeping-up the war by-name Thusnelda and
υἱὸς τριετὴς Θουμέλικος· ἔτι δὲ Σεσίθακος, Σεγιμήρου
son three-year-old Thumelicus further and Sesithacus of-Segimerus
υἱὸς τῶν Χηρούσκων ἡγεμόνος, καὶ γυνὴ τούτου Ῥαμίς,
son of-the Cherusci leader and wife of-this Rhamis
Οὐκρομήρου θυγάτηρ ἡγεμόνος Χάττων, καὶ Δευδόριξ,
of-Ucromerus daughter leader of-Chatti and Deudorix
Βαιτόριγος τοῦ Μέλωνος ἀδελφοῦ υἱός, Σούγαμβρος.
of-Baetorix the of-Melo brother son Sugambrian
Σεγέστης δὲ ὁ πενθερὸς τοῦ Ἀρμενίου καὶ ἐξ ἀρχῆς διέστη
Segestes and the father-in-law — of-Armenius also from beginning dissented
πρὸς τὴν γνώμην αὐτοῦ καὶ λαβὼν καιρὸν ηὐτομόλησε
toward the judgment his and having-taken opportunity deserted

καὶ τῷ θριάμβῳ παρῆν τῶν φιλτάτων, ἐν τιμῇ ἀγόμενος.
and at-the triumph was-present of-the dearest in honor being-held
ἐπόμπευσε δὲ καὶ Λίβης τῶν Χάττων ἱερεύς, καὶ ἄλλα
marched-in-procession and also Libes of-the Chatti priest and other
δὲ σώματα ἐπομπεύθη ἐκ τῶν πεπορθημένων ἐθνῶν,
and persons were-led-in-procession from the plundered nations
Καούλκων Καμψανῶν Βρουκτέρων Οὐσίπων Χηρούσκων
Caulci Campsani Bructeri Usipi Cherusci
Χάττων Χαττουαρίων Λανδῶν Τουβαττίων. διέχει δὲ
Chatti Chattuarii Landi Tubattii is-distant and
τοῦ Ἄλβιος ὁ Ῥῆνος περὶ τρισχιλίους σταδίους, εἴ τις
from-the Albis the Rhenus about three-thousand stades if anyone
εὐθυπορούσας ἔχοι τὰς ὁδούς· νυνὶ δὲ διὰ σκολιᾶς
straight-running should-have the roads now but through crooked
καὶ ἑλώδους καὶ δρυμῶν κυκλοπορεῖν ἀνάγκη.
and marshy and forests to-go-round necessity
ὁ δὲ Ἑρκύνιος δρυμὸς πυκνότερός τέ ἐστι καὶ
the and Hercynian forest denser both is and
μεγαλόδενδρος ἐν χωρίοις ἐρυμνοῖς κύκλον περιλαμβάνων
of-great-trees in places strong circle enclosing
μέγαν, ἐν μέσῳ δὲ ἵδρυται χώρα καλῶς οἰκεῖσθαι
great in middle and is-situated country well to-be-inhabited
δυναμένη, περὶ ἧς εἰρήκαμεν. ἔστι δὲ πλησίον αὐτῆς ἥ
able about which we-have-spoken is and near it the
τε τοῦ Ἴστρου πηγὴ καὶ ἡ τοῦ Ῥήνου καὶ ἡ μεταξὺ
both of-the Ister source and the of-the Rhenus and the between
ἀμφοῖν λίμνη καὶ τὰ ἕλη τὰ ἐκ τοῦ Ῥήνου διαχεόμενα.
both lake and the marshes those from the Rhenus spreading
ἔστι δ᾽ ἡ λίμνη τὴν μὲν περίμετρον σταδίων πλειόνων
is and the lake in-the indeed circuit of-stades more
ἢ πεντακοσίων, δίαρμα δὲ ἐγγὺς διακοσίων. ἔχει δὲ καὶ
than five-hundred passage but near two-hundred it-has and also

νῆσον, ᾗ ἐχρήσατο ὁρμητηρίῳ Τιβέριος ναυμαχῶν πρὸς
island which used as-base Tiberius fighting-at-sea against
Οὐινδολικούς. νοτιωτέρα δ' ἐστὶ τῶν τοῦ Ἴστρου πηγῶν
Vindelici more-southern and is than-the of-the Ister sources
καὶ αὕτη, ὥστ' ἀνάγκη τῷ ἐκ τῆς Κελτικῆς ἐπὶ τὸν
also this so-that necessity for-the from — Celtica to the
Ἑρκύνιον δρυμὸν ἰόντι πρῶτον μὲν διαπερᾶσαι τὴν λίμνην,
Hercynian forest going first indeed to-cross the lake
ἔπειτα τὸν Ἴστρον, εἶτ' ἤδη δι' εὐπετεστέρων χωρίων
then the Ister then already through easier places
ἐπὶ τὸν δρυμὸν τὰς προβάσεις ποιεῖσθαι δι' ὀροπεδίων.
to the forest the advances to-make through plateaus
ἡμερήσιον δ' ἀπὸ τῆς λίμνης προελθὼν ὁδὸν Τιβέριος
a-day's and from the lake having-advanced road Tiberius
εἶδε τὰς τοῦ Ἴστρου πηγάς. προσάπτονται δὲ τῆς λίμνης
saw the of-the Ister sources touch and the lake
ἐπ' ὀλίγον μὲν οἱ Ῥαιτοί, τὸ δὲ πλέον Ἑλουήττιοι καὶ
for a-little-way indeed the Rhaeti the but more Helvetii and
Οὐινδολικοί *** καὶ ἡ Βοίων ἐρημία. μέχρι Παννονίων
Vindelici (lacuna) and the of-Boii desert as-far-as Pannonii
πάντες, τὸ πλέον δ' Ἑλουήττιοι καὶ Οὐινδολικοί, οἰκοῦσιν
all the more and Helvetii and Vindelici inhabit
ὀροπέδια. Ῥαιτοὶ δὲ καὶ Νωρικοὶ μέχρι τῶν Ἀλπείων
plateaus Rhaeti and and Norici as-far-as the Alpine
ὑπερβολῶν ἀνίσχουσι καὶ πρὸς τὴν Ἰταλίαν περινεύουσιν,
passes rise and toward — Italy incline
οἱ μὲν Ἰνσούβροις συνάπτοντες οἱ δὲ Κάρνοις
the(-ones) indeed with-Insubres joining the(-others) but with-Carni
καὶ τοῖς περὶ τὴν Ἀκυληίαν χωρίοις. ἔστι δὲ καὶ ἄλλη
and the about — Aquileia places is and also another

ὕλη μεγάλη Γαβρῆτα ἐπὶ τάδε τῶν Σοήβων, ἐπέκεινα
forest great Gabreta on this-side of-the Suebi beyond
δ' ὁ Ἑρκύνιος δρυμός· ἔχεται δὲ κἀκεῖνος ὑπ' αὐτῶν.
but the Hercynian forest is-held and also-that by them

II · THE CIMBRI

Strabo rejects the story that the Cimbri became wanderers because a great flood drove them from their peninsula, since the tides are regular and they still hold the land; nor did they take up arms against the tides. Posidonius rightly conjectures that as wandering raiders they reached the Maeotis, giving the Cimmerian Bosporus its name, and that, beaten back by the Boii, they went down to the Ister and drew in the Helvetii, until the Romans destroyed them all. Their gray-haired priestesses cut the throats of captives over a great bronze bowl and divined from the blood. The northern Germans are known as far as the Albis; beyond it the coast and the peoples are unknown.

περὶ δὲ Κίμβρων τὰ μὲν οὐκ εὖ λέγεται, τὰ δ' 1
about and Cimbri the-things indeed not well are-said the-things but
ἔχει πιθανότητας οὐ μετρίας. οὔτε γὰρ τὴν τοιαύτην αἰτίαν
have plausibilities not moderate neither for the such cause
τοῦ πλάνητας γενέσθαι καὶ λῃστρικοὺς ἀποδέξαιτ' ἄν τις,
of-the wanderers to-have-become and piratical would-accept — anyone
ὅτι χερρόνησον οἰκοῦντες μεγάλῃ πλημμυρίδι ἐξελαθεῖεν
that peninsula inhabiting by-great high-tide they-were-driven-out
ἐκ τῶν τόπων· καὶ γὰρ νῦν ἔχουσι τὴν χώραν ἣν
from the places and for now they-have the country which
εἶχον πρότερον, καὶ ἔπεμψαν τῷ Σεβαστῷ δῶρον τὸν
they-had formerly and they-sent — to-Augustus as-gift the
ἱερώτατον παρ' αὐτοῖς λέβητα, αἰτούμενοι φιλίαν καὶ
most-sacred among them cauldron asking friendship and
ἀμνηστίαν τῶν ὑπηργμένων, τυχόντες δὲ ὧν ἠξίουν
amnesty of-the-things having-been-done having-obtained and what they-asked

ἀπῆραν· γελοῖον δὲ τῷ φυσικῷ καὶ αἰωνίῳ πάθει δὶς
departed ridiculous and with-the natural and eternal phenomenon twice
ἑκάστης ἡμέρας συμβαίνοντι προσοργισθέντας ἀπελθεῖν
each day happening having-become-angry to-have-departed
ἐκ τοῦ τόπου. ἔοικε δὲ πλάσματι τὸ συμβῆναί ποτε
from the place it-resembles and fabrication the to-have-happened once
ὑπερβάλλουσαν πλημμυρίδα· ἐπιτάσεις μὲν γὰρ καὶ ἀνέσεις
excessive high-tide increases indeed for and decreases
δέχεται, τεταγμένας δὲ καὶ περιοδιζούσας, ὁ ὠκεανὸς ἐν
receives ordered but and periodic the ocean in
τοῖς τοιούτοις πάθεσιν. οὐκ εὖ δ' οὐδὲ ὁ φήσας
the such phenomena not well and nor the(-one) having-said
ὅπλα αἴρεσθαι πρὸς τὰς πλημμυρίδας τοὺς Κίμβρους,
arms to-take-up against the high-tides the Cimbri
οὐδ' ὅτι ἀφοβίαν οἱ Κελτοὶ ἀσκοῦντες κατακλύζεσθαι τὰς
nor that fearlessness the Celts practicing to-be-flooded the
οἰκίας ὑπομένουσιν, εἶτ' ἀνοικοδομοῦσι, καὶ ὅτι πλείων
houses endure then rebuild and that greater
αὐτοῖς συμβαίνει φθόρος ἐξ ὕδατος ἢ πολέμου, ὅπερ
for-them happens destruction from water than from-war which-very
Ἔφορός φησιν. ἡ γὰρ τάξις ἡ τῶν πλημμυρίδων καὶ
Ephorus says the for order the of-the high-tides and
τὸ τὴν ἐπικλυζομένην χώραν εἶναι γνώριμον οὐκ ἔμελλε
the the flooded country to-be known not was-likely
τοιαύτας τὰς ἀτοπίας παρέξειν. δὶς γὰρ ἑκάστης ἡμέρας
such the absurdities to-produce twice for each day
τούτου συμβαίνοντος τὸ μηδ' ἅπαξ αἰσθάνεσθαι φυσικὴν
this happening the not-even once to-perceive natural
οὖσαν τὴν παλίρροιαν καὶ ἀβλαβῆ, καὶ οὐ μόνοις τούτοις
being the reflux and harmless and not alone to-these
συμβαίνουσαν ἀλλὰ τοῖς παρωκεανίταις πᾶσι, πῶς οὐκ
happening but to-the coast-dwellers all how not

ἀπίθανον; οὐδὲ Κλείταρχος εὖ· φησὶ γὰρ τοὺς ἱππέας
unpersuasive nor Cleitarchus well he-says for the horsemen
ἰδόντας τὴν ἔφοδον τοῦ πελάγους ἀφιππάσασθαι καὶ
having-seen the advance of-the sea to-have-ridden-off and
φεύγοντας ἐγγὺς γενέσθαι τοῦ περικαταληφθῆναι. οὔτε δὲ
fleeing near to-have-come of-the to-be-cut-off neither and
τοσούτῳ τάχει τὴν ἐπίβασιν ὁρμωμένην ἱστοροῦμεν, ἀλλὰ
with-so-great speed the advance rushing we-record but
λεληθότως προσιοῦσαν τὴν θάλατταν· οὔτε τὸ καθ' ἡμέραν
unnoticed approaching the sea nor the by day
γινόμενον καὶ πᾶσιν ἔναυλον ἤδη ὂν τοῖς πλησιάζειν
happening and to-all familiar already being to-those to-approach
μέλλουσι πρὶν ἢ θεάσασθαι, τοσοῦτον ἔμελλε παρέξεσθαι
about before than to-have-seen so-great was-likely to-produce
φόβον ὥστε φεύγειν, ὡς ἂν εἰ ἐξ ἀδοκήτου προσέπεσε.
fear so-that to-flee as — if from unexpected it-fell-upon
ταῦτά τε δὴ δικαίως ἐπιτιμᾷ τοῖς συγγραφεῦσι 2
these both indeed justly censures the historians
Ποσειδώνιος καὶ οὐ κακῶς εἰκάζει, διότι λῃστρικοὶ ὄντες
Posidonius and not badly conjectures that piratical being
καὶ πλάνητες οἱ Κίμβροι καὶ μέχρι τῶν περὶ τὴν Μαιῶτιν
and wanderers the Cimbri even as-far-as the about the Maeotis
ποιήσαιντο στρατείαν, ἀπ' ἐκείνων δὲ καὶ ὁ Κιμμέριος
might-have-made expedition from those and also the Cimmerian
κληθείη Βόσπορος, οἷον Κιμβρικός, Κιμμερίους τοὺς
might-have-been-called Bosporus as-it-were Cimbric Cimmerians the
Κίμβρους ὀνομασάντων τῶν Ἑλλήνων. φησὶ δὲ καὶ Βοίους
Cimbri having-named the Greeks he-says and also Boii
τὸν Ἑρκύνιον δρυμὸν οἰκεῖν πρότερον, τοὺς δὲ Κίμβρους
the Hercynian forest to-inhabit formerly the and Cimbri
ὁρμήσαντας ἐπὶ τὸν τόπον τοῦτον, ἀποκρουσθέντας ὑπὸ
having-set-out to the place this having-been-beaten-back by

τῶν Βοίων ἐπὶ τὸν Ἴστρον καὶ τοὺς Σκορδίσκους
the Boii to the Ister and the Scordisci
Γαλάτας καταβῆναι, εἶτ' ἐπὶ Τευρίστας καὶ Ταυρίσκους,
Galatae to-have-gone-down then to Teuristae and Taurisci
καὶ τούτους Γαλάτας, εἶτ' ἐπὶ Ἑλουηττίους, πολυχρύσους
also these Galatae then to Helvetii gold-rich
μὲν ἄνδρας εἰρηναίους δέ· ὁρῶντας δὲ τὸν ἐκ τῶν
indeed men peaceable but seeing and the from the
λῃστηρίων πλοῦτον ὑπερβάλλοντα τοῦ παρ' ἑαυτοῖς τοὺς
robberies wealth exceeding the among themselves the
Ἑλουηττίους ἐπαρθῆναι, μάλιστα δ' αὐτῶν Τιγυρίνους
Helvetii to-have-been-excited most and of-them Tigurini
τε καὶ Τωυγένους, ὥστε καὶ συνεξορμῆσαι. πάντες μέντοι
both and Toygeni so-that also to-have-set-out-with all however
κατελύθησαν ὑπὸ τῶν Ῥωμαίων αὐτοί τε οἱ Κίμβροι καὶ
were-put-down by the Romans themselves both the Cimbri and
οἱ συναράμενοι τούτοις, οἱ μὲν ὑπερβαλόντες τὰς
those having-joined-in with-these the(-ones) indeed having-crossed the
Ἄλπεις εἰς τὴν Ἰταλίαν οἱ δ' ἔξω τῶν Ἄλπεων.
Alps into — Italy the(-others) but outside the Alps
3 ἔθος δέ τι τῶν Κίμβρων διηγοῦνται τοιοῦτον, ὅτι ταῖς
custom and some of-the Cimbri they-relate such that the
γυναιξὶν αὐτῶν συστρατευούσαις παρηκολούθουν προμάντεις
women their campaigning-with accompanied prophetesses
ἱέρειαι πολιότριχες, λευχείμονες, καρπασίνας ἐφαπτίδας
priestesses gray-haired white-robed of-flax cloaks
ἐπιπεπορπημέναι, ζῶσμα χαλκοῦν ἔχουσαι, γυμνόποδες·
fastened-on girdle bronze having barefoot
τοῖς οὖν αἰχμαλώτοις διὰ τοῦ στρατοπέδου συνήντων
the then captives through the camp they-met
ξιφήρεις, καταστέψασαι δ' αὐτοὺς ἦγον ἐπὶ κρατῆρα
sword-bearing having-garlanded and them led to bowl

χαλκοῦν ὅσον ἀμφορέων εἴκοσιν· εἶχον δὲ ἀναβάθραν,
bronze as-much-as of-amphorae twenty they-had and platform
ἣν ἀναβᾶσα *** ὑπερπετὴς τοῦ λέβητος ἐλαιμοτόμει
which having-mounted (lacuna) above the cauldron cut-the-throat-of
ἕκαστον μετεωρισθέντα· ἐκ δὲ τοῦ προχεομένου αἵματος εἰς
each lifted-up from and the pouring-out blood into
τὸν κρατῆρα μαντείαν τινὰ ἐποιοῦντο, ἄλλαι δὲ διασχίσασαι
the bowl divination some they-made others and having-cut-open
ἐσπλάγχνευον ἀναφθεγγόμεναι νίκην τοῖς οἰκείοις. ἐν δὲ
inspected-the-entrails proclaiming victory to-the own in and
τοῖς ἀγῶσιν ἔτυπτον τὰς βύρσας τὰς περιτεταμένας τοῖς
the battles they-beat the hides those stretched on-the
γέρροις τῶν ἁρμαμαξῶν, ὥστ᾽ ἀποτελεῖσθαι ψόφον ἐξαίσιον.
wicker-bodies of-the wagons so-that to-be-produced noise enormous
τῶν δὲ Γερμανῶν, ὡς εἶπον, οἱ μὲν προσάρκτιοι 4
of-the and Germans as I-said the(-ones) indeed northern
παροικοῦσι τῷ ὠκεανῷ, γνωρίζονται δ᾽ ἀπὸ τῶν ἐκβολῶν
dwell-along the ocean they-are-known and from the mouths
τοῦ Ῥήνου λαβόντες τὴν ἀρχὴν μέχρι τοῦ Ἄλβιος. τούτων
of-the Rhenus having-taken the beginning as-far-as the Albis of-these
δ᾽ εἰσὶ γνωριμώτατοι Σούγαμβροί τε καὶ Κίμβροι. τὰ
and are most-known Sugambri both and Cimbri the-parts
δὲ πέραν τοῦ Ἄλβιος τὰ πρὸς τῷ ὠκεανῷ παντάπασιν
but beyond the Albis those by the ocean altogether
ἄγνωστα ἡμῖν ἐστιν. οὔτε γὰρ τῶν προτέρων οὐδένας ἴσμεν
unknown to-us are neither for of-the earlier none we-know
τὸν παράπλουν τοῦτον πεποιημένους πρὸς τὰ ἑωθινὰ μέρη
the coasting-voyage this having-made toward the eastern parts
τὰ μέχρι τοῦ στόματος τῆς Κασπίας θαλάττης, οὔθ᾽ οἱ
those as-far-as the mouth of-the Caspian sea nor the
Ῥωμαῖοί πω προῆλθον εἰς τὰ περαιτέρω τοῦ Ἄλβιος·
Romans yet advanced into the-parts farther than-the Albis

ὡς δ᾽ αὕτως οὐδὲ πεζῇ παρωδεύκασιν οὐδένες. ἀλλ᾽ ὅτι
as and likewise nor on-foot have-traveled-along none but that
μὲν κατὰ μῆκος ἰοῦσιν ἐπὶ τὴν ἕω τὰ κατὰ τὸν
indeed in length for-those-going toward the east the-places along the
Βορυσθένη καὶ τὰ πρὸς βορρᾶν τοῦ Πόντου χωρία ἀπαντᾷ,
Borysthenes and the toward north of-the Pontus places meet
δῆλον ἐκ τῶν κλιμάτων καὶ τῶν παραλλήλων διαστημάτων.
plain from the latitudes and the parallel distances
τί δ᾽ ἐστὶ πέραν τῆς Γερμανίας καὶ τί τῶν ἄλλων
what but is beyond — Germany and what of-the others
τῶν ἑξῆς, εἴτε Βαστάρνας χρὴ λέγειν, ὡς οἱ πλείους
the next whether Bastarnae it-is-needful to-say as the most
ὑπονοοῦσιν, εἴτ᾽ ἄλλους μεταξὺ ἢ Ἰάζυγας ἢ Ῥωξολανοὺς
suspect or others between or Iazyges or Roxolani
ἤ τινας ἄλλους τῶν ἁμαξοίκων οὐ ῥᾴδιον εἰπεῖν, οὐδ᾽ εἰ
or some others of-the wagon-dwellers not easy to-say nor whether
μέχρι τοῦ ὠκεανοῦ παρήκουσι παρὰ πᾶν τὸ μῆκος, ἢ ἔστι
as-far-as the ocean they-extend along all the length or is
τι ἀοίκητον ὑπὸ ψύχους ἢ ἄλλης αἰτίας, ἢ εἰ καὶ
some-part uninhabitable by cold or other cause or whether also
γένος ἀνθρώπων ἄλλο διαδέχεται μεταξὺ τῆς θαλάττης καὶ
race of-men another succeeds between the sea and
τῶν ἑῴων Γερμανῶν ἱδρυμένον. τοῦτο δὲ τὸ αὐτὸ ἀγνόημα
the eastern Germans situated this and the same ignorance
καὶ περὶ τῶν ἄλλων τῶν ἐφεξῆς προσαρκτίων ἐπέχει. οὔτε
also about the others the next northern prevails neither
γὰρ τοὺς Βαστάρνας οὔτε τοὺς Σαυρομάτας καὶ ἁπλῶς τοὺς
for the Bastarnae nor the Sauromatae and simply those
ὑπὲρ τοῦ Πόντου οἰκοῦντας ἴσμεν, οὔθ᾽ ὁπόσον ἀπέχουσι
beyond the Pontus dwelling we-know nor how-far they-are-distant
τῆς Ἀτλαντικῆς θαλάττης, οὔτ᾽ εἰ συνάπτουσιν αὐτῇ.
from-the Atlantic sea nor whether they-join it

In the southern part of Germany beyond the Albis live the Suebi and then the Getae, whose exact bounds are unknown; the myths of the Rhipaean mountains and the Hyperboreans are set aside. The Greeks counted the Getae Thracians, and Strabo agrees with Posidonius that Homer's Mysians are those of Europe, since the poet joins to them the mare-milkers, the wagon-dwelling Scythians and Sarmatians. Strabo doubts Posidonius' view that the livelihoodless are men living without women, citing Menander on the Getae's many wives and on women as the leaders of worship. Zamolxis, Pythagoras' slave, became the Getae's god-like priest, and the custom lasts; Strabo rebuts Apollodorus and Eratosthenes, who claimed Homer knew nothing distant.

τὸ δὲ νότιον μέρος τῆς Γερμανίας τὸ πέραν τοῦ Ἄλβιος 1
the and southern part — of-Germany the(-part) beyond the Albis
τὸ μὲν συνεχὲς ἀκμὴν ὑπὸ τῶν Σοήβων κατέχεται· εἶτ'
the(-part) indeed adjoining still by the Suebi is-held then
εὐθὺς ἡ τῶν Γετῶν συνάπτει γῆ, κατ' ἀρχὰς μὲν στενή,
straightway the of-the Getae joins land at beginnings indeed narrow
παρατεταμένη τῷ Ἴστρῳ κατὰ τὸ νότιον μέρος, κατὰ δὲ
stretched-along the Ister on the southern part on but
τοὐναντίον τῇ παρωρείᾳ τοῦ Ἑρκυνίου δρυμοῦ, μέρος τι
the-opposite the mountain-side of-the Hercynian forest part some
τῶν ὀρῶν καὶ αὐτὴ κατέχουσα, εἶτα πλατύνεται πρὸς
of-the mountains also itself holding then it-widens toward
τὰς ἄρκτους μέχρι Τυρεγετῶν· τοὺς δὲ ἀκριβεῖς ὅρους
the north as-far-as Tyregetae the but exact boundaries
οὐκ ἔχομεν φράζειν. διὰ δὲ τὴν ἄγνοιαν τῶν τόπων
not we-are-able to-tell because-of and the ignorance of-the places
τούτων οἱ τὰ Ῥιπαῖα ὄρη καὶ τοὺς Ὑπερβορείους
these those the Rhipaean mountains and the Hyperboreans
μυθοποιοῦντες λόγου ἠξίωνται, καὶ ἃ Πυθέας ὁ
myth-making of-account have-been-deemed-worthy and what Pytheas the

Μασσαλιώτης κατεψεύσατο ταῦτα τῆς παρωκεανίτιδος,
Massaliote falsely-told these-things of-the coast-of-the-ocean
προσχήματι χρώμενος τῇ περὶ τὰ οὐράνια καὶ τὰ
as-pretext using the about the heavenly-things and the
μαθηματικὰ ἱστορίᾳ. ἐκεῖνοι μὲν οὖν ἐάσθωσαν· οὐδὲ
mathematical inquiry those indeed then let-them-be-dismissed not-even
γὰρ εἴ τινα Σοφοκλῆς τραγῳδεῖ περὶ τῆς Ὠρειθυίας
for if some-things Sophocles tells-in-tragedy about — Oreithyia
λέγων ὡς ἀναρπαγεῖσα ὑπὸ Βορέου κομισθείη
saying how snatched-up by Boreas she-was-carried

ὑπέρ τε πόντον πάντ᾽ ἐπ᾽ ἔσχατα χθονὸς
over both sea all to ends of-earth
νυκτός τε πηγὰς οὐρανοῦ τ᾽ ἀναπτυχάς,
of-night both springs of-heaven and unfoldings
Φοίβου παλαιὸν κῆπον,
of-Phoebus ancient garden

οὐδὲν ἂν εἴη πρὸς τὰ νῦν, ἀλλ᾽ ἐατέον, ὥσπερ καὶ
nothing — it-would-be to the present but one-must-let-go as also
ἐν τῷ Φαίδρῳ ὁ Σωκράτης. ἃ δὲ ἔκ τε τῆς παλαιᾶς
in the Phaedrus — Socrates what but from both the ancient
ἱστορίας καὶ τῆς νῦν παρειλήφαμεν, ταῦτα λέγωμεν.
history and the present we-have-received these-things let-us-tell
2 οἱ τοίνυν Ἕλληνες τοὺς Γέτας Θρᾷκας ὑπελάμβανον· ᾤκουν
the then Greeks the Getae Thracians supposed dwelt
δ᾽ ἐφ᾽ ἑκάτερα τοῦ Ἴστρου καὶ οὗτοι καὶ οἱ Μυσοὶ Θρᾷκες
and on each-side of-the Ister both these and the Mysians Thracians
ὄντες καὶ αὐτοὶ καὶ οὓς νῦν Μοισοὺς καλοῦσιν, ἀφ᾽ ὧν
being also themselves and whom now Moesi they-call from whom
ὡρμήθησαν καὶ οἱ νῦν μεταξὺ Λυδῶν καὶ Φρυγῶν καὶ
set-out also the now between Lydians and Phrygians and

Τρώων οἰκοῦντες Μυσοί. καὶ αὐτοὶ δ' οἱ Φρύγες Βρίγες
Trojans dwelling Mysians also themselves and the Phrygians Briges
εἰσί, Θρᾴκιόν τι ἔθνος, καθάπερ καὶ Μυγδόνες καὶ Βέβρυκες
are Thracian some nation as also Mygdones and Bebryces
καὶ Μαιδοβιθυνοὶ καὶ Βιθυνοὶ καὶ Θυνοί, δοκῶ δὲ καὶ τοὺς
and Maedobithyni and Bithyni and Thyni I-think and also the
Μαριανδυνούς. οὗτοι μὲν οὖν τελέως ἐκλελοίπασι πάντες
Mariandyni these indeed then completely have-left all
τὴν Εὐρώπην, οἱ δὲ Μυσοὶ συνέμειναν. καὶ Ὅμηρον δ'
— Europe the but Mysians remained and Homer and
ὀρθῶς εἰκάζειν μοι δοκεῖ Ποσειδώνιος τοὺς ἐν τῇ Εὐρώπῃ
rightly to-conjecture to-me seems Posidonius those in — Europe
Μυσοὺς κατονομάζειν (λέγω δὲ τοὺς ἐν τῇ Θρᾴκῃ) ὅταν φῇ

αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ,
himself and back turned eyes shining
νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
apart over of-horse-tending Thracians looking-down-on land
Μυσῶν τ' ἀγχεμάχων.
of-Mysians and close-fighting

ἐπεὶ εἴ γε τοὺς κατὰ τὴν Ἀσίαν Μυσοὺς δέχοιτό τις,
since if indeed the in — Asia Mysians should-take anyone
ἀπηρτημένος ἂν εἴη ὁ λόγος. τὸ γὰρ ἀπὸ τῶν Τρώων
disconnected — would-be the account the for from the Trojans
τρέψαντα τὴν ὄρασιν ἐπὶ τὴν Θρᾳκῶν γῆν συγκαταλέγειν
having-turned the sight to the of-Thracians land to-list-with
ταύτῃ τὴν τῶν Μυσῶν, τῶν οὐ νόσφιν ὄντων ἀλλ' ὁμόρων
this the of-the Mysians those not apart being but bordering
τῇ Τρῳάδι καὶ ὄπισθεν αὐτῆς ἱδρυμένων καὶ ἑκατέρωθεν,
on-the Troad and behind it situated and on-each-side

διειργομένων δ' ἀπὸ τῆς Θράκης πλατεῖ Ἑλλησπόντῳ,
separated but from — Thrace by-broad Hellespont
συγχέοντος ἂν εἴη τὰς ἠπείρους καὶ ἅμα τῆς
of-one-confusing — it-would-be the continents and at-the-same-time the
φράσεως οὐκ ἀκούοντος. τὸ γὰρ πάλιν τρέπεν μάλιστα μέν
phrasing not hearing the for back turned most indeed
ἐστιν εἰς τοὐπίσω· ὁ δ' ἀπὸ τῶν Τρώων μεταφέρων τὴν ὄψιν
is to the-back the but from the Trojans shifting the sight
ἐπὶ τοὺς μὴ ὄπισθεν αὐτῶν ἢ ἐκ πλαγίων ὄντας προσωτέρω
to those not behind them or from sides being farther
μὲν μεταφέρει, εἰς τοὐπίσω δ' οὐ πάνυ. καὶ τὸ ἐπιφερόμενον
indeed shifts to the-back but not quite and the following
δ' αὐτοῦ τούτου μαρτύριον, ὅτι τοὺς ἱππημολγοὺς καὶ
and of-very this evidence that the mare-milkers and
γαλακτοφάγους καὶ ἀβίους συνῆψεν αὐτοῖς, οἵπερ εἰσὶν οἱ
milk-eaters and livelihoodless he-joined to-them who-very are the
ἁμάξοικοι Σκύθαι καὶ Σαρμάται. καὶ γὰρ νῦν ἀναμέμικται
wagon-dwelling Scythians and Sarmatians and for now are-mixed
ταῦτα τὰ ἔθνη τοῖς Θραξὶ καὶ τὰ Βασταρνικά, μᾶλλον
these the nations with-the Thracians and the Bastarnian rather
μὲν τοῖς ἐκτὸς Ἴστρου, ἀλλὰ καὶ τοῖς ἐντός. τούτοις
indeed with-those outside Ister but also with-those inside with-these
δὲ καὶ τὰ Κελτικά, οἵ τε Βόιοι καὶ Σκορδίσκοι καὶ
and also the Celtic the both Boii and Scordisci and
Ταυρίσκοι. τοὺς δὲ Σκορδίσκους ἔνιοι Σκορδίστας καλοῦσι·
Taurisci the and Scordisci some Scordistae call
καὶ τοὺς Ταυρίσκους δὲ Τευρίσκους καὶ Ταυρίστας φασί.
and the Taurisci and Teurisci and Tauristae they-say
3 λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων
says and the Mysians — Posidonius also from-living-beings
ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο καὶ θρεμμάτων·
to-abstain from piety because-of and this also from-flocks

μέλιτι δὲ χρῆσθαι καὶ γάλακτι καὶ τυρῷ ζῶντας καθ'
with-honey and to-use and milk and cheese living in
ἡσυχίαν, διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς τε καὶ
quiet because-of and this to-be-called god-fearing both and
καπνοβάτας· εἶναι δέ τινας τῶν Θρᾳκῶν οἳ χωρὶς
smoke-walkers to-be and some of-the Thracians who without
γυναικὸς ζῶσιν, οὓς κτίστας καλεῖσθαι, ἀνιερῶσθαί τε
woman live whom ctistae to-be-called to-be-consecrated and
διὰ τιμὴν καὶ μετὰ ἀδείας ζῆν· τούτους δὴ συλλήβδην
because-of honor and with security to-live these indeed all-together
ἅπαντας τὸν ποιητὴν εἰπεῖν ἀγαυοὺς ἱππημολγοὺς
all the poet to-have-called noble mare-milkers
γλακτοφάγους ἀβίους τε, δικαιοτάτους ἀνθρώπους.
milk-eaters livelihoodless both most-just men
ἀβίους δὲ προσαγορεύειν μάλιστα ὅτι χωρὶς γυναικῶν,
livelihoodless but to-call most because without women
ἡγούμενον ἡμιτελῆ τινα βίον τὸν χῆρον, καθάπερ καὶ τὸν
considering half-complete some life the widowed as also the
οἶκον ἡμιτελῆ τὸν Πρωτεσιλάου διότι χῆρος· ἀγχεμάχους
house half-complete the of-Protesilaus because widowed close-fighting
δὲ τοὺς Μυσούς, ὅτι ἀπόρθητοι, καθὰ οἱ ἀγαθοὶ
and the Mysians because unravaged as the good
πολεμισταί· δεῖν δὲ ἐν τῷ τρισκαιδεκάτῳ γράφειν
warriors it-is-needful and in the thirteenth to-write
ἀντὶ τοῦ Μυσῶν τ' ἀγχεμάχων Μοισῶν τ' ἀγχεμάχων.
instead-of the Mysians and close-fighting Moesi and close-fighting
τὸ μὲν οὖν τὴν γραφὴν κινεῖν ἐκ τοσούτων ἐτῶν 4
the indeed then the reading to-move from so-many years
εὐδοκιμήσασαν περιττὸν ἴσως· πολὺ γὰρ πιθανώτερον
having-been-esteemed superfluous perhaps much for more-plausible
ὠνομάσθαι μὲν ἐξ ἀρχῆς Μυσούς, μετωνομάσθαι δὲ
to-have-been-named indeed from beginning Mysians to-have-been-renamed but

ὡς νῦν. τοὺς ἀβίους δὲ τοὺς χήρους οὐ μᾶλλον ἢ τοὺς
as now the livelihoodless and the widowed not rather than the
ἀνεστίους καὶ τοὺς ἁμαξοίκους δέξαιτ' ἄν τις· μάλιστα
hearthless and the wagon-dwellers would-accept — anyone most
γὰρ περὶ τὰ συμβόλαια καὶ τὴν τῶν χρημάτων κτῆσιν
for about the contracts and the of-the money acquisition
συνισταμένων τῶν ἀδικημάτων, τοὺς οὕτως ἀπ' ὀλίγων
arising the wrongs those so from few-things
εὐτελῶς ζῶντας δικαιοτάτους εὔλογον κληθῆναι· ἐπεὶ καὶ
cheaply living most-just reasonable to-be-called since also
οἱ φιλόσοφοι τῇ σωφροσύνῃ τὴν δικαιοσύνην ἐγγυτάτω
the philosophers to-the temperance the justice nearest
τιθέντες τὸ αὔταρκες καὶ τὸ λιτὸν ἐν τοῖς πρώτοις
setting the self-sufficient and the frugal among the first
ἐζήλωσαν· ἀφ' οὗ καὶ προεκπτώσεις τινὰς αὐτῶν παρέωσαν
emulated from which also excesses some of-them pushed
ἐπὶ τὸν κυνισμόν. τὸ δὲ χήρους γυναικῶν οἰκεῖν οὐδεμίαν
to the cynicism the and widowed of-women to-dwell no
τοιαύτην ἔμφασιν ὑπογράφει, καὶ μάλιστα παρὰ τοῖς Θρᾳξὶ
such implication suggests and especially among the Thracians
καὶ τούτων τοῖς Γέταις. ὅρα δ' ἃ λέγει Μένανδρος περὶ
and of-these the Getae see and what says Menander about
αὐτῶν οὐ πλάσας, ὡς εἰκός, ἀλλ' ἐξ ἱστορίας λαβών
them not having-fabricated as likely but from history having-taken

πάντες μὲν οἱ Θρᾷκες, μάλιστα δ' οἱ Γέται
all indeed the Thracians most but the Getae
ἡμεῖς ἁπάντων (καὶ γὰρ αὐτὸς εὔχομαι
we of-all and for myself boast
ἐκεῖθεν εἶναι τὸ γένος) οὐ σφόδρ' ἐγκρατεῖς
from-there to-be the race not very self-controlled
ἐσμέν.
we-are

καὶ ὑποβὰς μικρὸν τῆς περὶ τὰς γυναῖκας ἀκρασίας
and having-gone-down a-little of-the about the women incontinence
τίθησι τὰ παραδείγματα·
sets-down the examples

γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷς, εἰ μὴ δέκ' ἢ
marries for of-us not-even one if not ten or
ἕνδεκα γυναῖκας δώδεκά τ' ἢ πλείους τινές·
eleven women twelve and or more some
ἂν τέτταρας δ' ἢ πέντε γεγαμηκὼς τύχῃ
if four but or five having-married he-happen
καταστροφῆς τις, ἀνυμέναιος ἄθλιος
at-the-end someone without-wedding-song wretched
ἄνυμφος οὗτος ἐπικαλεῖτ' ἐν τοῖς ἐκεῖ.
brideless this-one is-called among those there

ταῦτα γὰρ ὁμολογεῖται μὲν καὶ παρὰ τῶν ἄλλων, οὐκ
these-things for are-agreed indeed also by the others not
εἰκὸς δὲ τοὺς αὐτοὺς ἅμα μὲν ἄθλιον νομίζειν βίον τὸν
likely but the same at-once indeed wretched to-consider life the(-one)
μὴ μετὰ πολλῶν γυναικῶν, ἅμα δὲ σπουδαῖον καὶ δίκαιον
not with many women at-once but excellent and just

τὸν τῶν γυναικῶν χῆρον. τὸ δὲ δὴ καὶ θεοσεβεῖς
the(-one) of-the women widowed the but indeed also god-fearing
νομίζειν καὶ καπνοβάτας τοὺς ἐρήμους γυναικῶν σφόδρα
to-consider and smoke-walkers those bereft of-women very
ἐναντιοῦται ταῖς κοιναῖς ὑπολήψεσιν. ἅπαντες γὰρ τῆς
is-opposed to-the common assumptions all for of-the
δεισιδαιμονίας ἀρχηγοὺς οἴονται τὰς γυναῖκας· αὗται δὲ καὶ
superstition leaders think the women these and also
τοὺς ἄνδρας προκαλοῦνται πρὸς τὰς ἐπὶ πλέον θεραπείας
the men summon to the for more worships
τῶν θεῶν καὶ ἑορτὰς καὶ ποτνιασμούς· σπάνιον δ' εἴ τις
of-the gods and festivals and supplications rare but if any
ἀνὴρ καθ' αὑτὸν ζῶν εὑρίσκεται τοιοῦτος. ὅρα δὲ πάλιν
man by himself living is-found such see and again
τὸν αὐτὸν ποιητὴν ἃ λέγει εἰσάγων τὸν ἀχθόμενον
the same poet what-things he-says introducing the(-one) being-vexed
ταῖς περὶ τὰς θυσίας τῶν γυναικῶν δαπάναις καὶ λέγοντα
at-the about the sacrifices of-the women expenses and saying

ἐπιτρίβουσι δ' ἡμᾶς οἱ θεοί,
wear-out and us the gods
μάλιστα τοὺς γήμαντας· ἀεὶ γάρ τινα
most those having-married always for some
ἄγειν ἑορτήν ἐστ' ἀνάγκη.
to-keep festival is necessity

τὸν δὲ μισογύνην αὐτὰ ταῦτα αἰτιώμενον
the and woman-hater these very-things blaming

ἐθύομεν δὲ πεντάκις τῆς ἡμέρας,
we-were-sacrificing and five-times of-the day
ἐκυμβάλιζον δ' ἑπτὰ θεράπαιναι κύκλῳ,
clashed-cymbals and seven maidservants round
αἱ δ' ὠλόλυζον.
they and raised-the-cry

τὸ μὲν οὖν ἰδίως τοὺς ἀγύνους τῶν Γετῶν εὐσεβεῖς
the indeed then specifically the wifeless of-the Getae pious
νομίζεσθαι παράλογόν τι ἐμφαίνει· τὸ δ' ἰσχύειν ἐν
to-be-considered contrary-to-reason something suggests the but to-be-strong in
τῷ ἔθνει τούτῳ τὴν περὶ τὸ θεῖον σπουδὴν ἔκ τε ὧν εἶπε
the nation this the about the divine zeal from both what said
Ποσειδώνιος οὐκ ἀπιστητέον καὶ ἐκ τῆς ἄλλης ἱστορίας.
Posidonius not one-must-disbelieve and from the other history
λέγεται γάρ τινα τῶν Γετῶν ὄνομα Ζάμολξιν δουλεῦσαι
it-is-said for some of-the Getae by-name Zamolxis to-have-been-slave
Πυθαγόρᾳ καί τινα τῶν οὐρανίων παρ' ἐκείνου μαθεῖν,
to-Pythagoras and some-things of-the heavenly from him to-have-learned
τὰ δὲ καὶ παρ' Αἰγυπτίων πλανηθέντα καὶ μέχρι δεῦρο·
some and also from Egyptians having-wandered even as-far-as here
ἐπανελθόντα δ' εἰς τὴν οἰκείαν σπουδασθῆναι παρὰ
having-returned and to the homeland to-have-been-courted by
τοῖς ἡγεμόσι καὶ τῷ ἔθνει προλέγοντα τὰς ἐπισημασίας,
the leaders and the nation foretelling the signs
τελευτῶντα δὲ πεῖσαι τὸν βασιλέα κοινωνὸν τῆς
at-last and to-have-persuaded the king partner of-the
ἀρχῆς αὐτὸν λαβεῖν ὡς τὰ παρὰ τῶν θεῶν ἐξαγγέλλειν
rule him to-take as the-things from the gods to-announce
ἱκανόν· καὶ κατ' ἀρχὰς μὲν ἱερέα κατασταθῆναι τοῦ
able and at beginnings indeed priest to-have-been-appointed of-the

μάλιστα τιμωμένου παρ᾽ αὐτοῖς θεοῦ, μετὰ ταῦτα δὲ
most honored among them god after these-things and
καὶ θεὸν προσαγορευθῆναι, καὶ καταλαβόντα ἀντρῶδές τι
also god to-have-been-called and having-occupied cave-like some
χωρίον ἄβατον τοῖς ἄλλοις ἐνταῦθα διαιτᾶσθαι, σπάνιον
place inaccessible to-the others there to-live rarely
ἐντυγχάνοντα τοῖς ἐκτὸς πλὴν τοῦ βασιλέως καὶ τῶν
meeting those outside except the king and the
θεραπόντων· συμπράττειν δὲ τὸν βασιλέα ὁρῶντα τοὺς
attendants to-cooperate and the king seeing the
ἀνθρώπους προσέχοντας ἑαυτῷ πολὺ πλέον ἢ πρότερον,
men paying-heed to-himself much more than before
ὡς ἐκφέροντι τὰ προστάγματα κατὰ συμβουλὴν θεῶν.
as bringing-out the orders by counsel of-gods
τουτὶ δὲ τὸ ἔθος διέτεινεν ἄχρι καὶ εἰς ἡμᾶς, ἀεί τινος
this and the custom extended up-to even to us always some
εὑρισκομένου τοιούτου τὸ ἦθος, ὃς τῷ μὲν βασιλεῖ
being-found such in-the character who to-the indeed king
σύμβουλος ὑπῆρχε, παρὰ δὲ τοῖς Γέταις ὠνομάζετο θεός·
counselor was among but the Getae was-named god
καὶ τὸ ὄρος ὑπελήφθη ἱερόν, καὶ προσαγορεύουσιν οὕτως·
and the mountain was-supposed sacred and they-call-it so
ὄνομα δ᾽ αὐτῷ Κωγαίονον ὁμώνυμον τῷ παραρρέοντι
name and to-it Cogaeonum of-the-same-name with-the flowing-past
ποταμῷ. καὶ δὴ ὅτε Βυρεβίστας ἦρχε τῶν Γετῶν, ἐφ᾽
river and indeed when Boerebistas ruled the Getae against
ὃν ἤδη παρεσκευάσατο Καῖσαρ ὁ θεὸς στρατεύειν,
whom already prepared Caesar the god to-campaign
Δεκαίνεος εἶχε ταύτην τὴν τιμήν, καί πως τὸ τῶν ἐμψύχων
Decaeneus held this the honor and somehow the of-the living-beings
ἀπέχεσθαι Πυθαγόρειον τοῦ Ζαμόλξιος ἔμεινε παραδοθέν.
to-abstain-from Pythagorean — of-Zamolxis remained handed-down

τοιαῦτα μὲν οὖν κακῶς ἄν τις διαπορήσειε περὶ 6
such-things indeed then badly — anyone might-raise-difficulties about
τῶν κειμένων παρὰ τῷ ποιητῇ περί τε Μυσῶν καὶ
the-things set-down in the poet about both Mysians and
ἀγαυῶν ἱππημολγῶν· ἃ δ' Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ
noble mare-milkers what but Apollodorus in the second
περὶ νεῶν προοιμιαζόμενος εἴρηκεν ἥκιστα λέγοιτ' ἄν.
about ships prefacing has-said least might-be-said —
ἐπαινεῖ γὰρ Ἐρατοσθένους ἀπόφασιν, ὅτι φησὶν ἐκεῖνος καὶ
he-praises for of-Eratosthenes declaration that says that-one both
Ὅμηρον καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς τὰ μὲν Ἑλληνικὰ
Homer and the others the ancients the indeed Greek
εἰδέναι τῶν δὲ πόρρω πολλὴν ἔχειν ἀπειρίαν, ἀπείρους
to-know of-the but distant much to-have inexperience inexperienced
μὲν μακρῶν ὁδῶν ὄντας ἀπείρους δὲ τοῦ ναυτίλλεσθαι.
indeed of-long journeys being inexperienced but of-the to-sail
συνηγορῶν δὲ τούτοις Ὁμηρόν φησι τὴν μὲν Αὐλίδα καλεῖν
supporting and these Homer he-says — indeed Aulis to-call
πετρήεσσαν, ὥσπερ καὶ ἔστι, πολύκνημον δὲ τὸν Ἐτεωνόν,
rocky as also it-is with-many-spurs and — Eteonus
πολυτρήρωνα δὲ τὴν Θίσβην, ποιήεντα δὲ τὸν Ἁλίαρτον·
with-many-doves and — Thisbe grassy and — Haliartus
τὰ δ' ἄπωθεν οὔτ' αὐτὸν εἰδέναι οὔτε τοὺς ἄλλους.
the-things but far-off neither himself to-know nor the others
ποταμῶν γοῦν περὶ τετταράκοντα ῥεόντων εἰς τὸν Πόντον
of-rivers at-least about forty flowing into the Pontus
μηδὲ τῶν ἐνδοξοτάτων μηδενὸς μεμνῆσθαι, οἷον Ἴστρου
not-even of-the most-famous any to-have-mentioned as Ister
Τανάιδος Βορυσθένους Ὑπάνιος Φάσιδος Θερμώδοντος
Tanais Borysthenes Hypanis Phasis Thermodon
Ἅλυος· ἔτι δὲ Σκυθῶν μὲν μὴ μεμνῆσθαι, πλάττειν δὲ
Halys further and Scythians indeed not to-have-mentioned to-fabricate but

ἀγαυούς τινας ἱππημολγοὺς καὶ γαλακτοφάγους ἀβίους τε,
noble some mare-milkers and milk-eaters livelihoodless both
Παφλαγόνας τε τοὺς ἐν τῇ μεσογαίᾳ ἱστορηκέναι παρὰ τῶν
Paphlagonians and the in the interior to-have-learned from those
πεζῇ τοῖς τόποις πλησιασάντων, τὴν παραλίαν δὲ ἀγνοεῖν·
on-foot the places having-approached the coast but not-to-know
καὶ εἰκότως γε. ἄπλουν γὰρ εἶναι τότε τὴν θάλατταν
and fittingly at-least unnavigable for to-be then the sea
ταύτην καὶ καλεῖσθαι Ἄξενον διὰ τὸ δυσχείμερον καὶ
this and to-be-called Axenus because-of the stormy-winters and
τὴν ἀγριότητα τῶν περιοικούντων ἐθνῶν καὶ μάλιστα
the wildness of-the dwelling-around nations and especially
τῶν Σκυθικῶν, ξενοθυτούντων καὶ σαρκοφαγούντων καὶ
of-the Scythian sacrificing-strangers and eating-flesh and
τοῖς κρανίοις ἐκπώμασι χρωμένων· ὕστερον δ' Εὔξεινον
the skulls as-cups using later and Euxinus
κεκλῆσθαι τῶν Ἰώνων ἐν τῇ παραλίᾳ πόλεις κτισάντων·
to-have-been-called the Ionians on the coast cities having-founded
ὁμοίως δ' ἀγνοεῖν καὶ τὰ περὶ Αἴγυπτον καὶ Λιβύην,
likewise and not-to-know also the-things about Egypt and Libya
οἷον τὰς ἀναβάσεις τοῦ Νείλου καὶ προσχώσεις τοῦ
as the risings of-the Nile and silting of-the
πελάγους, ὧν οὐδαμοῦ μεμνῆσθαι, οὐδὲ τοῦ ἰσθμοῦ
sea of-which nowhere to-have-made-mention nor of-the isthmus
τοῦ μεταξὺ τῆς Ἐρυθρᾶς καὶ τῆς Αἰγυπτίας θαλάττης,
the between the Red and the Egyptian sea
οὐδὲ τῶν κατὰ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν καὶ τὸν
nor of-the-things in — Arabia and Ethiopia and the
ὠκεανόν, εἰ μὴ Ζήνωνι τῷ φιλοσόφῳ προσεκτέον γράφοντι
ocean if not to-Zeno the philosopher one-must-attend writing

Αἰθίοπάς θ' ἱκόμην καὶ Σιδονίους Ἄραβάς τε.
Ethiopians and I-came-to and Sidonians Arabs and

οὐ θαυμαστὸν δ' εἶναι περὶ Ὁμήρου· καὶ γὰρ τοὺς ἔτι
not wonderful and to-be about Homer and for those still
νεωτέρους ἐκείνου πολλὰ ἀγνοεῖν καὶ τερατολογεῖν,
more-recent than-him many-things to-be-ignorant-of and to-tell-marvels
Ἡσίοδον μὲν Ἡμίκυνας λέγοντα καὶ Μεγαλοκεφάλους
Hesiod indeed Half-dogs speaking-of and Great-heads
καὶ Πυγμαίους, Ἀλκμᾶνα δὲ Στεγανόποδας, Αἰσχύλον δὲ
and Pygmies Alcman but Web-feet Aeschylus but
κυνοκεφάλους καὶ στερνοφθάλμους καὶ μονομμάτους καὶ
dog-heads and breast-eyed and one-eyed and
ἄλλα μυρία. ἀπὸ δὲ τούτων ἐπὶ τοὺς συγγραφέας
other countless-things from and these to the historians
βαδίζει Ῥιπαῖα ὄρη λέγοντας καὶ τὸ Ὠγύιον ὄρος
he-goes Rhipaean mountains speaking-of and the Ogyian mountain
καὶ τὴν τῶν Γοργόνων καὶ Ἑσπερίδων κατοικίαν, καὶ
and the of-the Gorgons and Hesperides dwelling and
τὴν παρὰ Θεοπόμπῳ Μεροπίδα γῆν, παρ' Ἑκαταίῳ δὲ
the in Theopompus Meropis land in Hecataeus and
Κιμμερίδα πόλιν, παρ' Εὐημέρῳ δὲ τὴν Παγχαΐαν γῆν,
Cimmeris city in Euhemerus and the Panchaean land
παρ' Ἀριστοτέλει δὲ ποταμίους λίθους ἐξ ἄμμου ***
in Aristotle and river stones from sand (lacuna)
ἐκ δὲ τῶν ὄμβρων τήκεσθαι, ἐν δὲ τῇ Λιβύῃ Διονύσου
from and the rains to-be-melted in and — Libya of-Dionysus
πόλιν εἶναι, ταύτην δ' οὐκ ἐνδέχεσθαι δὶς τὸν αὐτὸν
city to-be this but not to-be-possible twice the same-man
ἐξευρεῖν. ἐπιτιμᾷ δὲ καὶ τοῖς περὶ Σικελίαν τὴν πλάνην
to-find he-censures and also those about Sicily the wandering

λέγουσι καθ' Ὅμηρον τὴν Ὀδυσσέως· εἰ γὰρ αὖ
placing according-to Homer the of-Odysseus if for again
χρῆναι τὴν μὲν πλάνην ἐκεῖ γεγονέναι φάσκειν, τὸν
to-be-necessary the indeed wandering there to-have-occurred to-assert the
δὲ ποιητὴν ἐξωκεανικέναι μυθολογίας χάριν. καὶ
but poet to-have-transferred-to-the-ocean of-myth-telling for-the-sake and
τοῖς μὲν ἄλλοις συγγνώμην εἶναι, Καλλιμάχῳ δὲ μὴ πάνυ
to-the indeed others pardon to-be to-Callimachus but not at-all
μεταποιουμένῳ γε γραμματικῆς, ὃς τὴν μὲν Γαῦδον
laying-claim at-least to-scholarship who — indeed Gaudos
Καλυψοῦς νῆσόν φησι, τὴν δὲ Κόρκυραν Σχερίαν. ἄλλους
of-Calypso island says — but Corcyra Scheria others
δ' αἰτιᾶται ψεύσασθαι περὶ Γερήνων καὶ τοῦ Ἀκακησίου καὶ
and he-accuses to-have-lied about Gerena and — Acacesium and
Δήμου ἐν Ἰθάκῃ, Πελεθρονίου δ' ἐν Πηλίῳ, Γλαυκωπίου
Demus in Ithaca Pelethronium and in Pelion Glaucopium
δ' ἐν Ἀθήναις. τούτοις δὲ μικρά τινα προσθεὶς τοιαῦτα
and in Athens to-these and small some-things having-added such
παύεται, τὰ πλεῖστα μετενέγκας παρὰ τοῦ Ἐρατοσθένους,
he-stops the most having-transferred from — Eratosthenes
ὡς καὶ πρότερον ἐμνήσθημεν, οὐκ εὖ εἰρημένα. τὸ μὲν γὰρ
as also before we-mentioned not well said the indeed for
τοὺς ὕστερον ἐμπειροτέρους γεγονέναι τῶν πάλαι περὶ τὰ
those later more-experienced to-have-become than-those of-old about the
τοιαῦτα καὶ Ἐρατοσθένει καὶ τούτῳ δοτέον· τὸ δ' οὕτω
such-things both to-Eratosthenes and to-this-one one-must-grant the but so
πέρα τοῦ μετρίου προάγειν καὶ μάλιστα ἐφ' Ὁμήρου,
beyond the moderate to-carry and especially in-the-case-of Homer
δοκεῖ μοι κἂν ἐπιπλῆξαί τις δικαίως καὶ τοὐναντίον εἰπεῖν,
seems to-me even might-rebuke anyone justly and the-opposite to-say
ὡς περὶ ὧν ἀγνοοῦσιν αὐτοί, περὶ τούτων τῷ ποιητῇ
that about what they-are-ignorant-of themselves about these to-the poet

προφέρουσι. τὰ μὲν οὖν ἄλλα ἐν τοῖς καθ' ἕκαστα
they-reproach the indeed then other-things in the in particular
οἰκείας μνήμης τυγχάνει, τὰ δ' ἐν τοῖς καθόλου.
own mention obtain the-things but in the general-accounts

IV · THE SIMPLICITY OF THE NOMADS

Strabo defends Homer's mare-milkers, milk-eaters, and most just of men: the Scythian nomads live on their herds, hold things in common, and know no trade, as Hesiod and Aeschylus also say, though contact with Greek luxury has corrupted them. The simple justice of the barbarians is shown by Anacharsis, by the Celts who told Alexander they feared only that the sky might fall, and by Dromichaetes, who released Lysimachus after showing him his poverty. Ephorus praises the just nomads and credits Anacharsis with inventions Strabo doubts; Apollodorus is wrong about the Mysians, for Aelius Catus has moved fifty thousand Getae into Thrace. Boerebistas made the Getae great, aided by the wizard Decaeneus, who persuaded them to cut down their vines; after his overthrow his realm split into four or five parts.

νυνὶ δὲ περὶ Θρᾳκῶν ἐλέγομεν 7
now and about Thracians we-were-speaking

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν,
of-Mysians and close-fighting and noble mare-milkers
γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων,
milk-eaters livelihoodless both most-just men

βουλόμενοι συγκρῖναι τά τε ὑφ' ἡμῶν καὶ τὰ ὑπὸ
wishing to-compare the-things both by us and the-things by
Ποσειδωνίου λεχθέντα καὶ τὰ ὑπὸ τούτων· πρότερον
Posidonius said and the-things by these first
δ' ὅτι τὴν ἐπιχείρησιν ὑπεναντίαν τοῖς προτεθεῖσι
and that the undertaking contrary to-the-things proposed

πεποίηνται. προὔθεντο μὲν γὰρ διδάξαι διότι τῶν
they-have-made they-proposed indeed for to-teach that of-the-things
πόρρω τῆς Ἑλλάδος πλείων ἦν ἄγνοια τοῖς πρεσβυτέροις
far — of-Hellas greater was ignorance for-the older
ἢ τοῖς νεωτέροις, ἔδειξαν δὲ τἀναντία, καὶ οὐ τὰ
than for-the younger they-showed but the-opposite and not the-things
πόρρω μόνον ἀλλὰ καὶ τὰ ἐν αὐτῇ τῇ Ἑλλάδι. ἀλλ',
far only but also the-things in itself — Hellas but
ὡς ἔφην, τὰ ἄλλα μὲν ὑπερκείσθω, τὰ δὲ νῦν
as I-said the other-things indeed let-be-put-off the-things but present
σκοπῶμεν. Σκυθῶν μὲν γὰρ μεμνῆσθαι κατ' ἄγνοιάν
let-us-examine Scythians indeed for to-have-mentioned through ignorance
φασι, μηδὲ τῆς περὶ τοὺς ξένους ὠμότητος αὐτῶν,
they-say nor of-the toward the strangers cruelty their
καταθυόντων καὶ σαρκοφαγούντων καὶ τοῖς κρανίοις
sacrificing and eating-flesh and the skulls
ἐκπώμασι χρωμένων, δι' οὓς Ἄξενος ὠνομάζετο
as-cups using because-of whom Axenus was-named
ὁ πόντος, πλάττειν δ' ἀγαυούς τινας ἱππημολγοὺς
the sea to-fabricate but noble some mare-milkers
γαλακτοφάγους ἀβίους τε, δικαιοτάτους ἀνθρώπους, τοὺς
milk-eaters livelihoodless both most-just men those
οὐδαμοῦ γῆς ὄντας. πῶς οὖν Ἄξενον ὠνόμαζον, εἰ
nowhere of-earth being how then Axenus did-they-name if
μὴ ᾔδεισαν τὴν ἀγριότητα, μηδ' αὐτοὺς τοὺς μάλιστα
not they-knew the wildness nor themselves those most
τοιούτους; οὗτοι δ' εἰσὶ δήπου οἱ Σκύθαι. πότερον δ' οὐδ'
such these and are surely the Scythians whether and not-even
ἱππημολγοὶ ἦσαν οἱ ἐπέκεινα τῶν Μυσῶν καὶ Θρᾳκῶν
mare-milkers were those beyond the Mysians and Thracians
καὶ Γετῶν, οὐδὲ γαλακτοφάγοι καὶ ἄβιοι; ἀλλὰ καὶ
and Getae nor milk-eaters and livelihoodless but also

νῦν εἰσιν ἁμάξοικοι καὶ νομάδες καλούμενοι, ζῶντες ἀπὸ
now they-are wagon-dwellers and nomads called living from
θρεμμάτων καὶ γάλακτος καὶ τυροῦ καὶ μάλιστα ἱππείου,
flocks and milk and cheese and especially mare's
θησαυρισμὸν δ' οὐκ εἰδότες οὐδὲ καπηλείαν πλὴν εἰ φόρτον
storing but not knowing nor trading except if cargo
ἀντὶ φόρτου. πῶς οὖν ἠγνόει τοὺς Σκύθας ὁ ποιητής,
for cargo how then was-ignorant-of the Scythians the poet
ἱππημολγοὺς καὶ γαλακτοφάγους τινὰς προσαγορεύων; ὅτι
mare-milkers and milk-eaters some calling that
γὰρ οἱ τότε τούτους ἱππημολγοὺς ἐκάλουν, καὶ Ἡσίοδος
for those then these mare-milkers called also Hesiod
μάρτυς ἐν τοῖς ὑπ' Ἐρατοσθένους παρατεθεῖσιν ἔπεσιν
witness in the by Eratosthenes cited verses

Αἰθίοπας τε Λίγυς τε ἰδὲ Σκύθας ἱππημολγούς.
Ethiopians both Ligurians and and Scythians mare-milkers

τί δὲ θαυμαστόν, εἰ διὰ τὸ πλεονάζειν παρ' ἡμῖν τὴν
what but wonderful if because-of the to-abound among us the
περὶ τὰ συμβόλαια ἀδικίαν δικαιοτάτους εἶπεν ἀνθρώπους
about the contracts injustice most-just he-called men
τοὺς ἥκιστα ἐν τοῖς συμβολαίοις καὶ τῷ ἀργυρισμῷ
those least in the contracts and the money-making
ζῶντας, ἀλλὰ καὶ κοινὰ κεκτημένους πάντα πλὴν
living but also in-common possessing all-things except
ξίφους καὶ ποτηρίου, ἐν δὲ τοῖς πρῶτον τὰς γυναῖκας
sword and drinking-cup in and the first the women

πλατωνικῶς ἔχοντας κοινὰς καὶ τέκνα; καὶ Αἰσχύλος δ'
in-Platonic-fashion holding common and children and Aeschylus and
ἐμφαίνει συνηγορῶν τῷ ποιητῇ φήσας περὶ τῶν Σκυθῶν
shows supporting the poet having-said about the Scythians

ἀλλ' ἱππάκης βρωτῆρες εὔνομοι Σκύθαι
but of-mare's-cheese eaters well-lawed Scythians

αὕτη δ' ἡ ὑπόληψις καὶ νῦν ἔτι συμμένει παρὰ τοῖς
this and the assumption also now still holds-together among the
Ἕλλησιν· ἁπλουστάτους τε γὰρ αὐτοὺς νομίζομεν καὶ
Greeks simplest both for them we-consider and
ἥκιστα κακεντρεχεῖς εὐτελεστέρους τε πολὺ ἡμῶν καὶ
least malicious more-frugal both much than-us and
αὐταρκεστέρους· καίτοι ὅ γε καθ' ἡμᾶς βίος εἰς πάντας
more-self-sufficient and-yet the at-least in our-time life to all
σχεδόν τι διατέτακε τὴν πρὸς τὸ χεῖρον μεταβολήν,
nearly somewhat has-spread the toward the worse change
τρυφὴν καὶ ἡδονὰς καὶ κακοτεχνίας καὶ πλεονεξίας μυρίας
luxury and pleasures and evil-arts and greed countless
πρὸς ταῦτ' εἰσάγων. πολὺ οὖν τῆς τοιαύτης κακίας καὶ
toward these introducing much then of-the such vice also
εἰς τοὺς βαρβάρους ἐμπέπτωκε τούς τε ἄλλους καὶ τοὺς
onto the barbarians has-fallen both the others and the
νομάδας· καὶ γὰρ θαλάττης ἁψάμενοι χείρους γεγόνασι
nomads and for sea having-touched worse have-become
λῃστεύοντες καὶ ξενοκτονοῦντες, καὶ ἐπιπλεκόμενοι πολλοῖς
pirating and killing-strangers and mixing-with many
μεταλαμβάνουσι τῆς ἐκείνων πολυτελείας καὶ καπηλείας·
they-share of-the of-those extravagance and trading
ἃ δοκεῖ μὲν εἰς ἡμερότητα συντείνειν, διαφθείρει δὲ
which seems indeed toward tameness to-tend destroys but

τὰ ἤθη καὶ ποικιλίαν ἀντὶ τῆς ἁπλότητος τῆς ἄρτι
the characters and complexity instead-of the simplicity the just
λεχθείσης εἰσάγει.
said introduces
οἱ μέντοι πρὸ ἡμῶν καὶ μάλιστα οἱ ἐγγὺς τοῖς Ὁμήρου 8
those however before us and especially those near to-the of-Homer
χρόνοις τοιοῦτοί τινες ἦσαν καὶ ὑπελαμβάνοντο παρὰ
times such some were and were-supposed among
τοῖς Ἕλλησιν ὁποίους Ὅμηρός φησιν. ὅρα δὲ ἃ λέγει
the Greeks such-as Homer says see and what says
Ἡρόδοτος περὶ τοῦ τῶν Σκυθῶν βασιλέως, ἐφ' ὃν
Herodotus about the of-the Scythians king against whom
ἐστράτευσε Δαρεῖος, καὶ τὰ ἐπεσταλμένα παρ' αὐτοῦ.
campaigned Darius and the-things sent-in-letter by him
ὅρα δὲ καὶ ἃ λέγει Χρύσιππος περὶ τῶν τοῦ Βοσπόρου
see and also what says Chrysippus about the of-the Bosporus
βασιλέων τῶν περὶ Λεύκωνα. πλήρεις δὲ καὶ αἱ Περσικαὶ
kings those about Leucon full and also the Persian
ἐπιστολαὶ τῆς ἁπλότητος ἧς λέγω, καὶ τὰ ὑπὸ τῶν
letters of-the simplicity which I-mean and the-things by the
Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Ἰνδῶν ἀπομνημονευόμενα.
Egyptians and Babylonians and Indians recorded
διὰ τοῦτο δὲ καὶ ὁ Ἀνάχαρσις καὶ Ἄβαρις καί τινες
because-of this and also — Anacharsis and Abaris and some
ἄλλοι τοιοῦτοι παρὰ τοῖς Ἕλλησιν εὐδοκίμουν, ὅτι ἐθνικόν
others such among the Greeks were-esteemed because national
τινα χαρακτῆρα ἐπέφαινον εὐκολίας καὶ λιτότητος καὶ
some character they-displayed of-good-temper and frugality and
δικαιοσύνης. καὶ τί δεῖ τοὺς πάλαι λέγειν; Ἀλέξανδρος
justice and why is-it-needful the of-old to-speak Alexander
γὰρ ὁ Φιλίππου κατὰ τὴν ἐπὶ Θρᾷκας τοὺς ὑπὲρ τοῦ
for the of-Philip in the against Thracians those beyond the

Αἵμου στρατείαν ἐμβαλὼν εἰς Τριβαλλούς, ὁρῶν μέχρι τοῦ
Haemus expedition having-invaded into Triballi seeing as-far-as the
Ἴστρου καθήκοντας καὶ τῆς ἐν αὐτῷ νήσου Πεύκης, τὰ
Ister extending and of-the in it island Peuce the-parts
πέραν δὲ Γέτας ἔχοντας, ἀφῖχθαι λέγεται μέχρι δεῦρο, καὶ
beyond and Getae holding to-have-come is-said as-far-as here and
εἰς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δύνασθαι σπάνει πλοίων
on indeed the island to-land not to-be-able by-lack of-boats
(ἐκεῖσε γὰρ καταφυγόντα τὸν τῶν Τριβαλλῶν βασιλέα
there for having-fled the of-the Triballi king
Σύρμον ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν), εἰς δὲ τοὺς
Syrmus to-have-held-out against the attempt to and the
Γέτας διαβάντα ἑλεῖν αὐτῶν πόλιν καὶ ἀναστρέψαι
Getae having-crossed to-have-taken their city and to-have-returned
διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα τῶν ἐθνῶν
with speed to the homeland having-received gifts from-the nations
καὶ παρὰ τοῦ Σύρμου. φησὶ δὲ Πτολεμαῖος ὁ Λάγου
and from — Syrmus says and Ptolemaeus the son-of-Lagus
κατὰ ταύτην τὴν στρατείαν συμμῖξαι τῷ Ἀλεξάνδρῳ
in this the expedition to-have-met — with-Alexander
Κελτοὺς τοὺς περὶ τὸν Ἀδρίαν φιλίας καὶ ξενίας χάριν,
Celts those about the Adrias of-friendship and hospitality for-the-sake
δεξάμενον δὲ αὐτοὺς φιλοφρόνως τὸν βασιλέα ἐρέσθαι
having-received and them kindly the king to-have-asked
παρὰ πότον, τί μάλιστα εἴη ὃ φοβοῖντο, νομίζοντα
over drink what most might-be which they-feared thinking
αὐτὸν ἐρεῖν· αὐτοὺς δ' ἀποκρίνασθαι ὅτι οὐδὲν
him to-be-going-to-say they and to-have-answered that nothing
πλὴν εἰ ἄρα μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσοι, φιλίαν γε
except if then not the sky on-them should-fall friendship at-least
μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι. ταῦτα δὲ
yet of-man such above everything to-place these-things and

ἁπλότητος τῆς τῶν βαρβάρων ἐστὶ σημεῖα, τοῦ τε μὴ
of-simplicity the of-the barbarians are signs of-the both not
συγχωρήσαντος μὲν τὴν ἀπόβασιν τὴν εἰς τὴν νῆσον,
having-permitted indeed the landing the on the island
δῶρα δὲ πέμψαντος καὶ συνθεμένου φιλίαν, καὶ τῶν
gifts but having-sent and having-made friendship and of-those
φοβεῖσθαι μὲν οὐδένα φαμένων, φιλίαν δὲ περὶ παντὸς
to-fear indeed no-one saying friendship but above everything
τίθεσθαι μεγάλων ἀνδρῶν. ὅ τε Δρομιχαίτης κατὰ τοὺς
to-place of-great men — both Dromichaetes in the
διαδόχους ἦν Γετῶν βασιλεύς· ἐκεῖνος τοίνυν λαβὼν
Successors was of-Getae king that-one then having-taken
ζωγρίᾳ Λυσίμαχον ἐπιστρατεύσαντα αὐτῷ, δείξας τὴν
alive Lysimachus having-marched-against him having-shown the
πενίαν τήν τε ἑαυτοῦ καὶ τοῦ ἔθνους, ὁμοίως δὲ καὶ
poverty the both of-himself and of-the nation likewise and also
τὴν αὐτάρκειαν, ἐκέλευσε τοῖς τοιούτοις μὴ πολεμεῖν,
the self-sufficiency bade against-the such not to-make-war
ἀλλὰ φίλοις χρῆσθαι· ταῦτα δ' εἰπών, ξενίσας καὶ
but as-friends to-use these-things and having-said having-entertained and
συνθέμενος φιλίαν ἀπέλυσεν αὐτόν.
having-made friendship released him
Ἔφορος δ' ἐν τῇ τετάρτῃ μὲν τῆς ἱστορίας Εὐρώπῃ 9
Ephorus and in the fourth indeed of-the history Europe
δ' ἐπιγραφομένῃ βίβλῳ, περιοδεύσας τὴν Εὐρώπην μέχρι
and entitled book having-traversed — Europe as-far-as
Σκυθῶν ἐπὶ τέλει φησὶν εἶναι τῶν τε ἄλλων Σκυθῶν καὶ
Scythians at end says to-be of-the both other Scythians and
τῶν Σαυροματῶν τοὺς βίους ἀνομοίους· τοὺς μὲν γὰρ
the Sauromatae the lives unlike the(-ones) indeed for
εἶναι χαλεποὺς ὥστε καὶ ἀνθρωποφαγεῖν, τοὺς δὲ καὶ
to-be harsh so-that even to-eat-men the(-others) but even

τῶν ἄλλων ζῴων ἀπέχεσθαι. οἱ μὲν οὖν ἄλλοι, φησί,
from-the other animals to-abstain the indeed then others he-says
τὰ περὶ τῆς ὠμότητος αὐτῶν λέγουσιν, εἰδότες τὸ
the-things about the cruelty their tell knowing the
δεινόν τε καὶ τὸ θαυμαστὸν ἐκπληκτικὸν ὄν· δεῖν δὲ
terrible both and the wonderful astounding being it-is-needful but
τἀναντία καὶ λέγειν καὶ παραδείγματα ποιεῖσθαι· καὶ αὐτὸς
the-opposite both to-tell and examples to-make also himself
οὖν περὶ τῶν δικαιοτάτοις ἤθεσι χρωμένων ποιήσεσθαι
then about those most-just customs using to-be-going-to-make
τοὺς λόγους· εἶναι γάρ τινας τῶν νομάδων Σκυθῶν γάλακτι
the accounts to-be for some of-the nomad Scythians on-milk
τρεφομένους ἵππων τῇ τε δικαιοσύνῃ πάντων διαφέρειν·
being-fed of-mares in-the both justice all to-excel
μεμνῆσθαι δ' αὐτῶν τοὺς ποιητάς, Ὅμηρον μὲν
to-have-mentioned and them the poets Homer indeed

γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων
milk-eaters Abii both most-just men

φήσαντα τὴν γῆν καθορᾶν τὸν Δία, Ἡσίοδον δ' ἐν τῇ
having-said the land to-look-down-on — Zeus Hesiod and in the
καλουμένῃ γῆς περιόδῳ τὸν Φινέα ὑπὸ τῶν Ἁρπυιῶν
called of-earth circuit — Phineus by the Harpies
ἄγεσθαι
to-be-carried

γλακτοφάγων εἰς γαῖαν ἀπήναις οἰκί' ἐχόντων.
of-milk-eaters to land on-wagons homes having

εἶτ᾽ αἰτιολογεῖ διότι ταῖς διαίταις εὐτελεῖς ὄντες καὶ οὐ
then he-gives-the-cause that in-the ways-of-life frugal being and not
χρηματισταὶ πρός τε ἀλλήλους εὐνομοῦνται, κοινὰ πάντα
money-makers toward both one-another they-are-well-governed in-common all-things
ἔχοντες τά τε ἄλλα καὶ τὰς γυναῖκας καὶ τέκνα καὶ τὴν ὅλην
having the both others and the women and children and the whole
συγγένειαν, πρός τε τοὺς ἐκτὸς ἄμαχοί εἰσι καὶ ἀνίκητοι,
kin toward and the outsiders unconquerable are and invincible
οὐδὲν ἔχοντες ὑπὲρ οὗ δουλεύσουσι. καλεῖ δὲ καὶ Χοιρίλον
nothing having for which they-will-be-slaves he-calls and also Choerilus
εἰπόντα ἐν τῇ διαβάσει τῆς σχεδίας ἣν ἔζευξε Δαρεῖος
having-said in the crossing of-the raft which yoked Darius

μηλονόμοι τε Σάκαι, γενεῇ Σκύθαι· αὐτὰρ ἔναιον
sheep-feeding both Sacae by-race Scythians but they-dwelt
Ἀσίδα πυροφόρον· νομάδων γε μὲν ἦσαν ἄποικοι,
Asia wheat-bearing of-nomads indeed indeed they-were colonists
ἀνθρώπων νομίμων.
of-men law-abiding

καὶ τὸν Ἀνάχαρσιν δὲ σοφὸν καλῶν ὁ Ἔφορος τούτου
and — Anacharsis and wise calling — Ephorus of-this
τοῦ γένους φησὶν εἶναι· νομισθῆναι δὲ καὶ τῶν ἑπτὰ
the race says to-be to-have-been-reckoned and also among-the seven
σοφῶν ἐπ᾽ εὐτελείᾳ σωφροσύνῃ καὶ συνέσει· εὑρήματά τε
sages for frugality temperance and intelligence inventions both
αὐτοῦ λέγει τά τε ζώπυρα καὶ τὴν ἀμφίβολον ἄγκυραν καὶ
his he-tells the both bellows and the two-fluked anchor and
τὸν κεραμικὸν τροχόν. ταῦτα δὲ λέγω σαφῶς μὲν εἰδὼς
the potter's wheel these-things and I-say clearly indeed knowing
ὅτι καὶ οὗτος αὐτὸς οὐ τἀληθέστατα λέγει περὶ πάντων, καὶ
that also this-one himself not the-truest says about all and

δὴ καὶ τὸ τοῦ Ἀναχάρσιδος· πῶς γὰρ ὁ τροχὸς εὕρημα
indeed also the — of-Anacharsis how for the wheel invention
αὐτοῦ, ὃν οἶδεν Ὅμηρος πρεσβύτερος ὤν; ἀλλ' ἐκεῖνα
his which knows Homer older being but those
διασημῆναι βουλόμενος ὅτι κοινῇ τινι φήμῃ καὶ ὑπὸ τῶν
to-signify wishing that by-common some report both by the
παλαιῶν καὶ ὑπὸ τῶν ὑστέρων πεπιστεῦσθαι συνέβαινε
ancients and by the later to-have-been-believed it-happened
τὸ τῶν νομάδων, τοὺς μάλιστα ἀπῳκισμένους ἀπὸ τῶν
the of-the nomads those most removed from the
ἄλλων ἀνθρώπων γαλακτοφάγους τε εἶναι καὶ ἀβίους
other men milk-eaters both to-be and livelihoodless
καὶ δικαιοτάτους, ἀλλ' οὐχ ὑπὸ Ὁμήρου πεπλάσθαι.
and most-just but not by Homer to-have-been-fabricated
περί τε τῶν Μυσῶν δίκαιός ἐστιν ὑποσχεῖν λόγον τῶν
about both the Mysians just is to-give account of-the-things
ἐν τοῖς ἔπεσι λεγομένων Ἀπολλόδωρος, πότερ' ἡγεῖται
in the verses said Apollodorus whether considers
καὶ τούτους εἶναι πλάσμα, ὅταν φῇ ὁ ποιητὴς
also these to-be fabrication when says the poet

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν,
of-Mysians and close-fighting and noble mare-milkers

ἢ τοὺς ἐν τῇ Ἀσίᾳ δέχεται. τοὺς μὲν οὖν ἐν τῇ Ἀσίᾳ
or those in — Asia accepts those indeed then in — Asia
δεχόμενος παρερμηνεύσει τὸν ποιητήν, ὡς προείρηται,
accepting he-will-misinterpret the poet as has-been-said-before
πλάσμα λέγων, ὡς μὴ ὄντων ἐν τῇ Θρᾴκῃ Μυσῶν, παρὰ
fabrication calling as not being in — Thrace Mysians contrary-to
τὰ ὄντα. ἔτι γὰρ ἐφ' ἡμῶν Αἴλιος Κάτος μετῴκισεν
the facts still for in our-time Aelius Catus transplanted

ἐκ τῆς περαίας τοῦ Ἴστρου πέντε μυριάδας σωμάτων
from the opposite-bank of-the Ister five myriads of-persons
παρὰ τῶν Γετῶν, ὁμογλώττου τοῖς Θρᾳξὶν ἔθνους, εἰς
from the Getae of-same-tongue with-the Thracians nation into
τὴν Θρᾴκην· καὶ νῦν οἰκοῦσιν αὐτόθι Μοισοὶ καλούμενοι,
— Thrace and now they-dwell there Moesi called
ἤτοι καὶ τῶν πρότερον οὕτω καλουμένων, ἐν δὲ τῇ Ἀσίᾳ
either also those earlier so called in but — Asia
Μυσῶν μετονομασθέντων, ἢ ὅπερ οἰκειότερόν ἐστι τῇ
Mysians having-been-renamed or which-very more-appropriate is to-the
ἱστορίᾳ καὶ τῇ ἀποφάσει τοῦ ποιητοῦ, τῶν ἐν τῇ Θρᾴκῃ
history and the declaration of-the poet those in — Thrace
Μυσῶν καλουμένων πρότερον. περὶ μὲν δὴ τούτων
Mysians called formerly about indeed indeed these
ἅλις· ἐπάνειμι δὲ ἐπὶ τὴν ἑξῆς περιήγησιν.
enough I-return and to the next description
τῶν δὴ Γετῶν τὰ μὲν παλαιὰ ἀφείσθω, τὰ 11
of-the indeed Getae the indeed ancient-things let-be-dismissed the-things
δ' εἰς ἡμᾶς ἤδη τοιαῦτα ὑπῆρξε. Βοιρεβίστας ἀνὴρ
but to us already such were Boerebistas man
Γέτης, ἐπιστὰς ἐπὶ τὴν τοῦ ἔθνους ἐπιστασίαν, ἀνέλαβε
Getan having-stood over the of-the nation leadership restored
κεκακωμένους τοὺς ἀνθρώπους ὑπὸ συχνῶν πολέμων καὶ
worn-out the men by many wars and
τοσοῦτον ἐπῆρεν ἀσκήσει καὶ νήψει καὶ τῷ προσέχειν
so-much raised by-training and sobriety and the to-pay-heed
τοῖς προστάγμασιν, ὥστ' ὀλίγων ἐτῶν μεγάλην ἀρχὴν
to-the orders so-that in-few years great empire
κατεστήσατο καὶ τῶν ὁμόρων τοὺς πλείστους ὑπέταξε τοῖς
he-established and of-the neighbors the most subjected to-the
Γέταις· ἤδη δὲ καὶ Ῥωμαίοις φοβερὸς ἦν, διαβαίνων
Getae already and also to-Romans formidable he-was crossing

ἀδεῶς τὸν Ἴστρον καὶ τὴν Θράκην λεηλατῶν μέχρι
fearlessly the Ister and — Thrace plundering as-far-as
Μακεδονίας καὶ τῆς Ἰλλυρίδος, τούς τε Κελτοὺς τοὺς
Macedonia and — Illyris the both Celts those
ἀναμεμιγμένους τοῖς τε Θρᾳξὶ καὶ τοῖς Ἰλλυριοῖς
mingled with-the both Thracians and the Illyrians
ἐξεπόρθησε, Βοίους δὲ καὶ ἄρδην ἠφάνισε τοὺς ὑπὸ
he-sacked Boii and also utterly wiped-out those under
Κριτασίρῳ καὶ Ταυρίσκους. πρὸς δὲ τὴν εὐπείθειαν
Critasirus and Taurisci for and the obedience
τοῦ ἔθνους συναγωνιστὴν ἔσχε Δεκαίνεον ἄνδρα γόητα,
of-the nation as-helper he-had Decaeneus man wizard
πεπλανημένον κατὰ τὴν Αἴγυπτον καὶ προσημασίας
having-wandered through — Egypt and prognostications
ἐκμεμαθηκότα τινάς, δι' ὧν ὑπεκρίνετο τὰ θεῖα·
having-learned some through which he-pretended-to-interpret the divine-things
καὶ δι' ὀλίγου καθίστατο θεός, καθάπερ ἔφαμεν περὶ
and in a-short-time was-made god as we-said about
τοῦ Ζαμόλξεως διηγούμενοι. τῆς δ' εὐπειθείας σημεῖον·
— Zamolxis relating of-the and obedience sign
ἐπείσθησαν γὰρ ἐκκόψαι τὴν ἄμπελον καὶ ζῆν οἴνου
they-were-persuaded for to-cut-out the vine and to-live wine
χωρίς. ὁ μὲν οὖν Βοιρεβίστας ἔφθη καταλυθεὶς
without — indeed then Boerebistas was-beforehand having-been-put-down
ἐπαναστάντων αὐτῷ τινων πρὶν ἢ Ῥωμαίους στεῖλαι
having-risen-against him some before than Romans to-send
στρατείαν ἐπ' αὐτόν· οἱ δὲ διαδεξάμενοι τὴν ἀρχὴν εἰς
expedition against him those but having-succeeded-to the rule into
πλείω μέρη διέστησαν. καὶ δὴ καὶ νῦν, ἡνίκα ἔπεμψεν ἐπ'
more parts divided and indeed also now when sent against
αὐτοὺς στρατείαν ὁ Σεβαστὸς Καῖσαρ, εἰς πέντε μερίδας,
them expedition — Augustus Caesar into five portions

τότε δὲ εἰς τέτταρας διεστῶτες ἐτύγχανον· οἱ μὲν οὖν
then but into four having-been-divided they-happened the indeed then
τοιοῦτοι μερισμοὶ πρόσκαιροι καὶ ἄλλοτ' ἄλλοι.
such divisions temporary and at-different-times different

V · THE DACI, THE GETAE, AND THE PONTIC COAST

The Daci live toward Germany and the Getae toward the Pontus, speaking one language; from them the Athenians named their slaves Daos and Getas. Humbled by factions and by Rome, they can still field forty thousand. The desert of the Getae nearly destroyed Darius' army, and the Getic king Dromichaetes took Lysimachus alive. The Ister's seven mouths, the island Peuce, the Tyras, the island of Achilles, the Borysthenes and Olbia follow; beyond them live the Bastarnae, the Iazyges, and the Roxolani, whom Diophantus routed, and the nomads live in felt tents on wagons. The country is so cold that bronze jars burst and their contents freeze, and the strait of the Maeotis is crossed by wagons; Achilles' Course is a long sandy spit.

γέγονε δὲ καὶ ἄλλος τῆς χώρας μερισμὸς συμμένων ἐκ 12
has-come-about and also another of-the country division lasting from
παλαιοῦ· τοὺς μὲν γὰρ Δακοὺς προσαγορεύουσι τοὺς
of-old the(-ones) indeed for Daci they-call the(-others)
δὲ Γέτας, Γέτας μὲν τοὺς πρὸς τὸν Πόντον κεκλιμένους
but Getae Getae indeed those toward the Pontus sloping
καὶ πρὸς τὴν ἕω, Δακοὺς δὲ τοὺς εἰς τἀναντία πρὸς τὴν
and toward the east Daci but those to the-opposite toward —
Γερμανίαν καὶ τὰς τοῦ Ἴστρου πηγάς, οὓς οἶμαι Δάους
Germany and the of-the Ister sources whom I-think Dai
καλεῖσθαι τὸ παλαιόν· ἀφ' οὗ καὶ παρὰ τοῖς Ἀττικοῖς
to-have-been-called the of-old from which also among the Attic-people
ἐπεπόλασε τὰ τῶν οἰκετῶν ὀνόματα Γέται καὶ Δᾶοι.
became-common the of-the household-slaves names Getas and Daos
τοῦτο γὰρ πιθανώτερον ἢ ἀπὸ τῶν Σκυθῶν οὓς καλοῦσι
this for more-plausible than from the Scythians whom they-call

Δάας· πόρρω γὰρ ἐκεῖνοι περὶ τὴν Ὑρκανίαν, καὶ οὐκ
Daae far for those about — Hyrcania and not
εἰκὸς ἐκεῖθεν κομίζεσθαι ἀνδράποδα εἰς τὴν Ἀττικήν. ἐξ
likely from-there to-be-brought slaves to — Attica from
ὧν γὰρ ἐκομίζετο, ἢ τοῖς ἔθνεσιν ἐκείνοις ὁμωνύμους
what for they-were-brought either with-the nations those of-the-same-name
ἐκάλουν τοὺς οἰκέτας, ὡς Λυδὸν καὶ Σύρον, ἢ τοῖς
they-called the household-slaves as Lydus and Syrus or by-the
ἐπιπολάζουσιν ἐκεῖ ὀνόμασι προσηγόρευον, ὡς Μάνην ἢ
prevalent there names they-called as Manes or
Μίδαν τὸν Φρύγα, Τίβιον δὲ τὸν Παφλαγόνα. ἐπὶ τοσοῦτον
Midas the Phrygian Tibius and the Paphlagonian to so-far
δ' ὑπὸ τοῦ Βοιρεβίστα τὸ ἔθνος ἐξαρθὲν ἐταπεινώθη
and by — Boerebistas the nation having-been-raised was-humbled
τελέως ὑπό τε τῶν στάσεων καὶ τῶν Ῥωμαίων· ἱκανοὶ
completely by both the factions and the Romans able
δ' ὅμως εἰσὶν ἔτι καὶ νῦν στέλλειν τέτταρας μυριάδας.
but nevertheless are still even now to-send-out four myriads
13 ῥεῖ δὲ δι' αὐτῶν Μάρισος ποταμὸς εἰς τὸν Δανούιον,
flows and through them Marisus river into the Danuvius
ᾧ τὰς παρασκευὰς ἀνεκόμιζον οἱ Ῥωμαῖοι τὰς πρὸς
by-which the supplies conveyed-up the Romans those for
τὸν πόλεμον· καὶ γὰρ τοῦ ποταμοῦ τὰ μὲν ἄνω καὶ
the war and for of-the river the indeed upper and
πρὸς ταῖς πηγαῖς μέρη μέχρι τῶν καταρακτῶν Δανούιον
toward the sources parts as-far-as the cataracts Danuvius
προσηγόρευον, ἃ μάλιστα διὰ τῶν Δακῶν φέρεται, τὰ
they-called which most through the Daci is-borne the
δὲ κάτω μέχρι τοῦ Πόντου τὰ παρὰ τοὺς Γέτας καλοῦσιν
but lower-parts as-far-as the Pontus those along the Getae they-call
Ἴστρον· ὁμόγλωττοι δ' εἰσὶν οἱ Δακοὶ τοῖς Γέταις. παρὰ
Ister of-same-tongue and are the Daci with-the Getae among

μὲν οὖν τοῖς Ἕλλησιν οἱ Γέται γνωρίζονται μᾶλλον διὰ
indeed then the Greeks the Getae are-known more because-of
τὸ συνεχεῖς τὰς μεταναστάσεις ἐφ' ἑκάτερα τοῦ Ἴστρου
the continual the migrations to each-side of-the Ister
ποιεῖσθαι καὶ τοῖς Μοισοῖς ἀναμεμῖχθαι· καὶ τὸ τῶν
to-make and with-the Moesi to-have-been-mingled and the of-the
Τριβαλλῶν δ' ἔθνος, Θρᾳκικὸν ὄν, τὸ αὐτὸ πέπονθε τοῦτο.
Triballi and nation Thracian being the same has-experienced this
μεταναστάσεις γὰρ δέδεκται, τῶν πλησιοχώρων εἰς τοὺς
migrations for it-has-received of-the neighbors into the
ἀσθενεστέρους ἐξαναστάντων, τῶν μὲν ἐκ τῆς περαίας
weaker having-migrated of-the(-ones) indeed from the opposite-bank
Σκυθῶν καὶ Βασταρνῶν καὶ Σαυροματῶν ἐπικρατούντων
Scythians and Bastarnae and Sauromatae prevailing
πολλάκις, ὥστε καὶ ἐπιδιαβαίνειν τοῖς ἐξελαθεῖσι καὶ
often so-that also to-cross-over-against those having-been-driven-out and
καταμένειν τινὰς αὐτῶν ἢ ἐν ταῖς νήσοις ἢ ἐν τῇ Θράκῃ·
to-remain some of-them either in the islands or in — Thrace
τῶν δ' ἐκ θατέρου μέρους ὑπ' Ἰλλυριῶν μάλιστα
of-the(-others) but from the-other part by Illyrians most
κατισχυομένων. αὐξηθέντες δ' οὖν ἐπὶ πλεῖστον οἵ τε
being-overpowered having-increased and then to most the both
Γέται οἵ τε Δακοί, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν
Getae the both Daci so-that even twenty myriads to-send-out
στρατείας, νῦν ὅσον εἰς τέτταρας μυριάδας συνεσταλμένοι
of-army now as-much-as to four myriads reduced
τυγχάνουσι, καὶ ἐγγὺς μὲν ἥκουσι τοῦ ὑπακούειν Ῥωμαίων,
happen and near indeed have-come to-the to-obey Romans
οὔπω δ' εἰσὶν ὑποχείριοι τελέως διὰ τὰς ἐκ τῶν
not-yet but are subject completely because-of the from the
Γερμανῶν ἐλπίδας πολεμίων ὄντων τοῖς Ῥωμαίοις.
Germans hopes enemies being to-the Romans

14 μεταξὺ δὲ τῆς Ποντικῆς θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ
between and the Pontic sea the(-part) from Ister to
Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται πεδιὰς πᾶσα
Tyras also the of-the Getae desert lies-before level all
καὶ ἄνυδρος, ἐν ᾗ Δαρεῖος ἀπολῃφθεὶς ὁ Ὑστάσπεω,
and waterless in which Darius having-been-cut-off the son-of-Hystaspes
καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας,
at which time he-crossed the Ister against the Scythians
ἐκινδύνευσε πανστρατιᾷ δίψῃ διαλυθῆναι· συνῆκε δ' ὀψὲ
ran-risk with-whole-army by-thirst to-be-destroyed he-understood but late
καὶ ἀνέστρεψε. Λυσίμαχος δ' ὕστερον στρατεύσας ἐπὶ
and turned-back Lysimachus and later having-campaigned against
Γέτας καὶ τὸν βασιλέα Δρομιχαίτην οὐκ ἐκινδύνευσε μόνον,
Getae and the king Dromichaetes not ran-risk only
ἀλλὰ καὶ ἑάλω ζωγρίᾳ· πάλιν δ' ἐσώθη τυχὼν
but also was-captured alive again and was-saved having-met-with
εὐγνώμονος τοῦ βαρβάρου, καθάπερ εἶπον πρότερον.
considerate the barbarian as I-said before
15 πρὸς δὲ ταῖς ἐκβολαῖς μεγάλη νῆσός ἐστιν ἡ
at and the mouths great island is —
Πεύκη· κατασχόντες δ' αὐτὴν Βαστάρναι Πευκῖνοι
Peuce having-occupied and it Bastarnae Peucini
προσηγορεύθησαν· εἰσὶ δὲ καὶ ἄλλαι νῆσοι πολὺ ἐλάττους,
were-called are and also other islands much smaller
αἱ μὲν ἀνωτέρω ταύτης αἱ δὲ πρὸς τῇ θαλάττῃ.
the(-ones) indeed farther-up than-this the(-others) but near the sea
ἑπτάστομος γάρ ἐστι· μέγιστον δὲ τὸ ἱερὸν στόμα
seven-mouthed for it-is greatest and the sacred mouth
καλούμενον, δι' οὗ σταδίων ἀνάπλους ἐπὶ τὴν Πεύκην
called through which of-stades voyage-up to — Peuce
ἑκατὸν εἴκοσιν, ἧς κατὰ τὸ κάτω μέρος ἐποίησε τὸ
a-hundred twenty of-which at the lower part made the

ζεῦγμα Δαρεῖος· δύναιτο δ' ἂν ζευχθῆναι καὶ κατὰ τὸ
bridge Darius could and — to-be-bridged also at the
ἄνω. τοῦτο δὲ καὶ πρῶτόν ἐστι στόμα ἐν ἀριστερᾷ
upper this and also first is mouth on left
εἰσπλέοντι εἰς τὸν Πόντον· τὰ δ' ἑξῆς ἐν παράπλῳ
for-one-sailing-in into the Pontus the(-others) and next in coasting-voyage
τῷ ἐπὶ τὸν Τύραν· διέχει δ' ἀπ' αὐτοῦ τὸ ἕβδομον στόμα
the to the Tyras is-distant and from it the seventh mouth
περὶ τριακοσίους σταδίους. γίνονται οὖν μεταξὺ τῶν
about three-hundred stades come-into-being then between the
στομάτων νησῖδες. τὰ μὲν δὴ τρία στόματα τὰ ἐφεξῆς
mouths islets the indeed now three mouths those next
τῷ ἱερῷ στόματί ἐστι μικρά, τὰ δὲ λοιπὰ τοῦ
to-the sacred mouth are small the but remaining than-the(-one)
μὲν πολὺ ἐλάττονα τῶν δὲ μείζονα· Ἔφορος δὲ
indeed much smaller than-the(-others) but greater Ephorus but
πεντάστομον εἴρηκε τὸν Ἴστρον. ἐντεῦθεν δ' ἐπὶ Τύραν
five-mouthed has-called the Ister from-here and to Tyras
ποταμὸν πλωτὸν ἐνακόσιοι στάδιοι· ἐν δὲ τῷ μεταξὺ δύο
river navigable nine-hundred stades in and the between two
λίμναι μεγάλαι, ἡ μὲν ἀνεῳγμένη πρὸς τὴν θάλατταν
lakes great the(-one) indeed opened toward the sea
ὥστε καὶ λιμένι χρῆσθαι, ἡ δ' ἄστομος.
so-that also as-harbor to-use the(-other) but mouthless
ἐπὶ δὲ τῷ στόματι τοῦ Τύρα πύργος ἐστὶ Νεοπτολέμου 16
at and the mouth of-the Tyras tower is of-Neoptolemus
καλούμενος καὶ κώμη Ἑρμώνακτος λεγομένη. ἀναπλεύσαντι
called and village of-Hermonax called for-one-having-sailed-up
δὲ ἑκατὸν τετταράκοντα σταδίους ἐφ' ἑκάτερα πόλεις,
and a-hundred forty stades on each-side cities
ἡ μὲν Νικωνία ἡ δ' ἐν ἀριστερᾷ Ὀφιοῦσσα·
the(-one) indeed Niconia the(-other) but on left Ophiussa

οἱ δὲ προσοικοῦντες τῷ ποταμῷ πόλιν φασὶν ἀνιόντι
those and dwelling-by the river city say for-one-going-up
ἑκατὸν καὶ εἴκοσι σταδίους. διέχει δὲ τοῦ στόματος
a-hundred and twenty stades is-distant and from-the mouth
ἡ νῆσος ἡ Λευκὴ δίαρμα πεντακοσίων σταδίων, ἱερὰ
the island — Leuce passage of-five-hundred stades sacred
τοῦ Ἀχιλλέως, πελαγία.
— of-Achilles out-at-sea

17 εἶτα Βορυσθένης ποταμὸς πλωτὸς ἐφ' ἑξακοσίους σταδίους
then Borysthenes river navigable for six-hundred stades
καὶ πλησίον ἄλλος ποταμὸς Ὕπανις καὶ νῆσος πρὸ τοῦ
and near another river Hypanis and island before the
στόματος τοῦ Βορυσθένους ἔχουσα λιμένα. πλεύσαντι
mouth of-the Borysthenes having harbor for-one-having-sailed
δὲ τὸν Βορυσθένη σταδίους διακοσίους ὁμώνυμος τῷ
and the Borysthenes stades two-hundred of-the-same-name with-the
ποταμῷ πόλις· ἡ δ' αὐτὴ καὶ Ὀλβία καλεῖται, μέγα
river city the and same also Olbia is-called great
ἐμπόριον, κτίσμα Μιλησίων. ἡ δὲ ὑπερκειμένη πᾶσα
emporium foundation of-Milesians the and lying-above all
χώρα τοῦ λεχθέντος μεταξὺ Βορυσθένους καὶ Ἴστρου
country of-the said between Borysthenes and Ister
πρώτη μέν ἐστιν ἡ τῶν Γετῶν ἐρημία, ἔπειτα οἱ
first indeed is the of-the Getae desert then the
Τυρεγέται, μεθ' οὓς οἱ Ἰάζυγες Σαρμάται καὶ οἱ Βασίλειοι
Tyregetae after whom the Iazyges Sarmatians and those Royal
λεγόμενοι καὶ Οὖργοι, τὸ μὲν πλέον νομάδες, ὀλίγοι δὲ
called and Urgi the indeed most nomads few but
καὶ γεωργίας ἐπιμελούμενοι· τούτους φασὶ καὶ παρὰ τὸν
also of-farming taking-care these they-say also along the
Ἴστρον οἰκεῖν, ἐφ' ἑκάτερα πολλάκις. ἐν δὲ τῇ μεσογαίᾳ
Ister to-dwell on each-side often in and the interior

Βαστάρναι μὲν τοῖς Τυρεγέταις ὅμοροι καὶ Γερμανοῖς,
Bastarnae indeed with-the Tyregetae bordering and with-Germans
σχεδόν τι καὶ αὐτοὶ τοῦ Γερμανικοῦ γένους ὄντες,
nearly somewhat also themselves of-the German race being
εἰς πλείω φῦλα διῃρημένοι. καὶ γὰρ Ἄτμονοι λέγονταί
into several tribes divided and for Atmoni are-called
τινες καὶ Σιδόνες, οἱ δὲ τὴν Πεύκην κατασχόντες
some and Sidones those and — Peuce having-occupied
τὴν ἐν τῷ Ἴστρῳ νῆσον Πευκῖνοι, Ῥωξολανοὶ δ'
the in the Ister island Peucini Roxolani and
ἀρκτικώτατοι τὰ μεταξὺ τοῦ Τανάιδος καὶ Βορυσθένους
most-northern the between the Tanais and Borysthenes
νεμόμενοι πεδία. ἡ γὰρ προσάρκτιος πᾶσα ἀπὸ Γερμανίας
inhabiting plains the for northern all from Germany
μέχρι τῆς Κασπίας πεδιάς ἐστιν, ἣν ἴσμεν· ὑπὲρ δὲ
as-far-as the Caspian level is which we-know beyond and
τῶν Ῥωξολανῶν εἴ τινες οἰκοῦσιν οὐκ ἴσμεν. οἱ δὲ
the Roxolani whether any dwell not we-know the and
Ῥωξολανοὶ καὶ πρὸς τοὺς Μιθριδάτου τοῦ Εὐπάτορος
Roxolani also against the of-Mithridates the Eupator
στρατηγοὺς ἐπολέμουν ἔχοντες ἡγεμόνα Τάσιον· ἦκον
generals warred having leader Tasius they-came
δὲ Παλάκῳ συμμαχήσοντες τῷ Σκιλούρου, καὶ ἐδόκουν
and to-Palacus going-to-fight-as-allies the son-of-Scilurus and they-seemed
μὲν εἶναι μάχιμοι, πρὸς μέντοι συντεταγμένην φάλαγγα
indeed to-be warlike against however drawn-up phalanx
καὶ ὡπλισμένην καλῶς τὸ βάρβαρον φῦλον ἀσθενὲς πᾶν
and armed well the barbarian tribe weak all
ἐστι καὶ τὸ γυμνητικόν. ἐκεῖνοι γοῦν περὶ πέντε μυριάδας
is and the light-armed those at-least about five myriads
πρὸς ἑξακισχιλίους τοὺς Διοφάντῳ, τῷ τοῦ Μιθριδάτου
against six-thousand those with-Diophantus the — of-Mithridates

στρατηγῷ, συμπαραταξαμένους οὐκ ἀντέσχον, ἀλλ' οἱ
general drawn-up-together not held-out but the
πλεῖστοι διεφθάρησαν. χρῶνται δὲ ὠμοβοΐνοις κράνεσι καὶ
most were-destroyed they-use and raw-oxhide helmets and
θώραξι, γερροφόροι, ἀμυντήρια δ' ἔχοντες καὶ λόγχας
corselets wicker-shield-bearing defenses but having also spears
καὶ τόξον καὶ ξίφος· τοιοῦτοι δὲ καὶ τῶν ἄλλων οἱ
and bow and sword such and also of-the others the
πλείους. τῶν δὲ νομάδων αἱ σκηναὶ πιλωταὶ πεπήγασιν
most of-the and nomads the tents felt have-been-fixed
ἐπὶ ταῖς ἁμάξαις, ἐν αἷς διαιτῶνται· περὶ δὲ τὰς σκηνὰς
on the wagons in which they-live about and the tents
τὰ βοσκήματα, ἀφ' ὧν τρέφονται καὶ γάλακτι καὶ τυρῷ
the cattle from which they-are-fed both with-milk and cheese
καὶ κρέασιν· ἀκολουθοῦσι δὲ ταῖς νομαῖς μεταλαμβάνοντες
and meats they-follow and the pastures taking-in-turn
τόπους ἀεὶ τοὺς ἔχοντας πόαν, χειμῶνος μὲν ἐν τοῖς
places always those having grass in-winter indeed in the
ἕλεσι τοῖς περὶ τὴν Μαιῶτιν, θέρους δὲ καὶ ἐν τοῖς πεδίοις.
marshes those about the Maeotis in-summer but also in the plains
18 ἅπασα δ' ἡ χώρα δυσχείμερός ἐστι μέχρι τῶν ἐπὶ
all and the country stormy-in-winter is as-far-as the on
θαλάττῃ τόπων τῶν μεταξὺ Βορυσθένους καὶ τοῦ
sea places those between Borysthenes and the
στόματος τῆς Μαιώτιδος· αὐτῶν δὲ τῶν ἐπὶ θαλάττῃ τὰ
mouth of-the Maeotis of-them and the on sea the
ἀρκτικώτατα τό τε στόμα τῆς Μαιώτιδος καὶ ἔτι μᾶλλον
most-northern the both mouth of-the Maeotis and still more
τὸ τοῦ Βορυσθένους ὁ μυχὸς τοῦ Ταμυράκου κόλπου, καὶ
the of-the Borysthenes the recess of-the Tamyraces gulf and
Καρκινίτου, καθ' ὃν ὁ ἰσθμὸς τῆς μεγάλης χερρονήσου.
Carcinites at which the isthmus of-the great peninsula

δηλοῖ δὲ τὰ ψύχη, καίπερ ἐν πεδίοις οἰκούντων· ὄνους τε
show and the colds although in plains dwelling asses both
γὰρ οὐ τρέφουσι (δύσριγον γὰρ τὸ ζῷον), οἵ τε βόες οἱ
for not they-rear sensitive-to-cold for the animal the both oxen the(-ones)
μὲν ἄκεροι γεννῶνται, τῶν δ' ἀπορρινῶσι τὰ κέρατα
indeed hornless are-born of-the(-others) but they-file-off the horns
(καὶ γὰρ τοῦτο δύσριγον τὸ μέρος), οἵ τε ἵπποι μικροί,
and for this sensitive-to-cold the part the both horses small
τὰ δὲ πρόβατα μεγάλα· ῥήττονται δὲ χαλκαῖ ὑδρίαι, τὰ δ'
the but sheep large burst and bronze water-jars the and
ἐνόντα συμπήττεται. τῶν δὲ πάγων ἡ σφοδρότης μάλιστα
contents freeze-solid of-the and frosts the severity most
ἐκ τῶν συμβαινόντων περὶ τὸ στόμα τῆς Μαιώτιδος
from the-things happening about the mouth of-the Maeotis
δῆλός ἐστιν. ἁμαξεύεται γὰρ ὁ διάπλους ὁ εἰς
plain is is-driven-with-wagons for the crossing the(-one) to
Φαναγόρειαν ἐκ τοῦ Παντικαπαίου, ὥστε καὶ πλοῦν εἶναι
Phanagoria from — Panticapaeum so-that both voyage to-be
καὶ ὁδόν· Νεοπτόλεμον δέ φασι τὸν τοῦ Μιθριδάτου
and road Neoptolemus and they-say the — of-Mithridates
στρατηγὸν ἐν τῷ αὐτῷ πόρῳ θέρους μὲν ναυμαχίᾳ
general in the same strait in-summer indeed in-sea-fight
περιγενέσθαι τῶν βαρβάρων, χειμῶνος δ' ἱππομαχίᾳ.
to-have-overcome the barbarians in-winter but in-cavalry-fight
ὀρυκτοί τέ εἰσιν ἰχθύες οἱ ἀποληφθέντες ἐν τῷ κρυστάλλῳ
dug both are fishes those caught in the ice
τῇ προσαγορευομένῃ γαγγάμῃ, καὶ μάλιστα οἱ ἀντακαῖοι,
with-the called gangame and especially the antacaei
δελφῖσι πάρισοι τὸ μέγεθος. φασὶ δὲ καὶ τὴν ἄμπελον
to-dolphins nearly-equal in-the size they-say and also the vine
ἐν τῷ Βοσπόρῳ κατορύττεσθαι χειμῶνος, ἐπαμώντων πολὺ
in the Bosporus to-be-buried in-winter heaping-up much

τῆς γῆς. λέγεται δὲ καὶ τὰ καύματα σφοδρὰ γίνεσθαι,
of-the earth is-said and also the heats severe to-occur
τάχα μὲν τῶν σωμάτων ἀηθιζομένων, τάχα δὲ τῶν
perhaps indeed the bodies being-unaccustomed perhaps but the
πεδίων ἀνηνεμούντων τότε, ἢ καὶ τοῦ πάχους τοῦ ἀέρος
plains being-windless then or also the thickness of-the air
ἐκθερμαινομένου πλέον, καθάπερ ἐν τοῖς νέφεσιν οἱ παρήλιοι
heated more as in the clouds the mock-suns
ποιοῦσιν. Ἀτέας δὲ δοκεῖ τῶν πλείστων ἄρξαι τῶν ταύτῃ
make Ateas and seems of-the most to-have-ruled of-the here
βαρβάρων ὁ πρὸς Φίλιππον πολεμήσας τὸν Ἀμύντου.
barbarians the(-one) against Philip having-warred the son-of-Amyntas
19 μετὰ δὲ τὴν πρὸ τοῦ Βορυσθένους νῆσον ἑξῆς πρὸς
after and the before the Borysthenes island next toward
ἀνίσχοντα ἥλιον ὁ πλοῦς ἐπὶ ἄκραν τὴν τοῦ Ἀχιλλείου
rising sun the voyage to headland the — of-Achilles
δρόμου, ψιλὸν μὲν χωρίον καλούμενον δ' ἄλσος, ἱερὸν
Course bare indeed place called but grove sacred
Ἀχιλλέως· εἶθ' ὁ Ἀχίλλειος δρόμος, ἀλιτενὴς χερρόνησος·
of-Achilles then — Achilles Course low-lying peninsula
ἔστι γὰρ ταινία τις ὅσον χιλίων σταδίων μῆκος ἐπὶ
is for ribbon some as-much-as of-a-thousand stades length toward
τὴν ἕω, πλάτος δὲ τὸ μέγιστον δυεῖν σταδίων, ἐλάχιστον
the east breadth and the greatest of-two stades least
τεττάρων πλέθρων, διέχουσα τῆς ἑκατέρωθεν τοῦ αὐχένος
of-four plethra distant from-the on-each-side of-the neck
ἠπείρου σταδίους ἑξήκοντα, ἀμμώδης, ὕδωρ ἔχουσα ὀρυκτόν·
mainland stades sixty sandy water having dug
κατὰ μέσην δ' ὁ τοῦ ἰσθμοῦ αὐχὴν ὅσον τετταράκοντα
at middle and the of-the isthmus neck as-much-as forty
σταδίων· τελευτᾷ δὲ πρὸς ἄκραν ἣν Ταμυράκην καλοῦσιν,
stades it-ends and at headland which Tamyraces they-call

ἔχουσαν ὕφορμον βλέποντα πρὸς τὴν ἤπειρον· μεθ' ἣν ὁ
having anchorage looking toward the mainland after which the
Καρκινίτης κόλπος εὐμεγέθης, ἀνέχων πρὸς τὰς ἄρκτους
Carcinites gulf large reaching-up toward the north
ὅσον ἐπὶ σταδίους χιλίους, οἱ δὲ καὶ τριπλασίους
as-much-as for stades a-thousand the(-others) but also triple
φασὶ μέχρι τοῦ μυχοῦ *** καλοῦνται δὲ Τάφριοι. τὸν δὲ
say as-far-as the recess (lacuna) are-called and Taphrii the and
κόλπον καὶ Ταμυράκην καλοῦσιν ὁμωνύμως τῇ ἄκρᾳ.
gulf also Tamyraces they-call of-the-same-name with-the headland

VI · THE CRIMEA AND THE BOSPORUS

The isthmus between the Putrid lake and the sea makes the Tauric peninsula. Chersonesus, a Heracleote colony, put itself under Mithridates Eupator against the barbarians, and he warred on the Scythian king Scilurus and his sons; the Tauri used the Symbols harbor as a pirates' base. The Tauric coast runs mountainous to Theodosia, whose grain fields reach Panticapaeum, the metropolis of the Bosporus, long ruled by the dynasty of Leucon until Paerisades handed it to Mithridates. The Cimmerian Bosporus divides Asia from Europe, and the Tanais flows into the lake. The nomads, warriors rather than pirates, fight only when their tribute goes unpaid; the farmers are more civilized, yet still turn pirate; Asander walled the isthmus, and Mithridates' men, besieged on the headland they fortified, held out against Scilurus' sons until they prevailed.

ἐνταῦθα δ' ἐστὶν ὁ ἰσθμὸς ὁ διείργων τὴν 1
here and is the isthmus the(-one) separating the
σαπρὰν λεγομένην λίμνην ἀπὸ τῆς θαλάττης σταδίων
Putrid called lake from the sea of-stades
τετταράκοντα καὶ ποιῶν τὴν Ταυρικὴν καὶ Σκυθικὴν
forty and making the Tauric and Scythian
λεγομένην χερρόνησον· οἱ δὲ τριακοσίων ἑξήκοντα τὸ
called peninsula the(-others) but three-hundred sixty the

πλάτος τοῦ ἰσθμοῦ φασιν. ἡ δὲ σαπρὰ λίμνη σταδίων μὲν
breadth of-the isthmus say the and Putrid lake of-stades indeed
καὶ τετρακισχιλίων λέγεται, μέρος δ' ἐστὶ τῆς Μαιώτιδος
even four-thousand is-said part and is of-the Maeotis
τὸ πρὸς δύσιν· συνεστόμωται γὰρ αὐτῇ στόματι μεγάλῳ.
the toward west is-joined-by-a-mouth for with-it by-mouth great
ἑλώδης δ' ἐστὶ σφόδρα καὶ ῥαπτοῖς πλοίοις μόγις πλόιμος·
marshy and is very and for-sewn boats hardly navigable
οἱ γὰρ ἄνεμοι τὰ τενάγη ῥᾳδίως ἀνακαλύπτουσιν, εἶτα
the for winds the shoals easily uncover then
πάλιν πληροῦσιν, ὥστε τὰ ἕλη τοῖς μείζοσι σκάφεσιν
again fill so-that the marshes for-the larger boats
οὐ περάσιμά ἐστιν. ἔχει δ' ὁ κόλπος νησίδια τρία καὶ
not passable are has and the gulf islets three and
προσβραχῆ τινα καὶ χοιραδώδη ὀλίγα κατὰ τὸν παράπλουν.
shallow some and rocky few along the coasting-voyage
2 ἐκπλέοντι δ' ἐν ἀριστερᾷ πολίχνη καὶ ἄλλος λιμὴν
for-one-sailing-out and on left small-town and another harbor
Χερρονησιτῶν. ἔκκειται γὰρ ἐπὶ τὴν μεσημβρίαν ἄκρα
of-Chersonesites juts-out for toward the south headland
μεγάλη κατὰ τὸν παράπλουν ἐφεξῆς, μέρος οὖσα τῆς ὅλης
great along the coasting-voyage next part being of-the whole
χερρονήσου, ἐφ' ᾗ ἵδρυται πόλις Ἡρακλεωτῶν ἄποικος
peninsula on which is-set city of-Heracleotes colony
τῶν ἐν τῷ Πόντῳ, αὐτὸ τοῦτο καλουμένη Χερρόνησος,
of-those in the Pontus itself this called Chersonesus
διέχουσα τοῦ Τύρα παράπλουν σταδίων τετρακισχιλίων
distant from-the Tyras coasting-voyage of-stades four-thousand
τετρακοσίων· ἐν ᾗ τὸ τῆς Παρθένου ἱερόν, δαίμονός
four-hundred in which the — of-Parthenos temple of-divinity
τινος, ἧς ἐπώνυμος καὶ ἡ ἄκρα ἡ πρὸ τῆς πόλεώς
some of-whom named-after also the headland the(-one) before the city

ἐστιν ἐν σταδίοις ἑκατόν, καλουμένη Παρθένιον, ἔχον
is in stades a-hundred called Parthenium having
νεὼν τῆς δαίμονος καὶ ξόανον. μεταξὺ δὲ τῆς πόλεως
shrine of-the divinity and image between and the city
καὶ τῆς ἄκρας λιμένες τρεῖς· εἶθ' ἡ παλαιὰ Χερρόνησος
and the headland harbors three then the old Chersonesus
κατεσκαμμένη καὶ μετ' αὐτὴν λιμὴν στενόστομος, καθ' ὃν
razed and after it harbor narrow-mouthed at which
μάλιστα οἱ Ταῦροι, Σκυθικὸν ἔθνος, τὰ λῃστήρια συνίσταντο
most the Tauri Scythian nation the pirate-bands gathered
τοῖς καταφεύγουσιν ἐπ' αὐτὸν ἐπιχειροῦντες· καλεῖται δὲ
those fleeing-for-refuge to it attacking is-called and
συμβόλων λιμήν. οὗτος δὲ ποιεῖ πρὸς ἄλλον λιμένα
of-Symbols harbor this and makes with another harbor
Κτενοῦντα καλούμενον τετταράκοντα σταδίων ἰσθμόν· οὗτος
Ctenus called of-forty stades isthmus this
δ' ἐστὶν ὁ ἰσθμὸς ὁ κλείων τὴν μικρὰν χερρόνησον,
and is the isthmus the(-one) shutting-off the small peninsula
ἣν ἔφαμεν τῆς μεγάλης χερρονήσου μέρος, ἔχουσαν ἐν
which we-said of-the great peninsula part having in
αὑτῇ τὴν ὁμωνύμως λεγομένην πόλιν Χερρόνησον.
itself the of-the-same-name called city Chersonesus
αὕτη δ' ἦν πρότερον αὐτόνομος, πορθουμένη δὲ ὑπὸ τῶν 3
this and was formerly autonomous being-plundered but by the
βαρβάρων ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν
barbarians was-compelled protector to-choose Mithridates the
Εὐπάτορα, στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι
Eupator wanting-to-campaign against those beyond the isthmus as-far-as
Βορυσθένους βαρβάρους· ταῦτα δ' ἦν ἐπὶ Ῥωμαίους
Borysthenes barbarians these-things and were against Romans
παρασκευή. ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας
preparation that-one indeed then in these the hopes

ἄσμενος πέμψας εἰς τὴν Χερρόνησον στρατιὰν ἅμα
gladly having-sent into — Chersonesus army at-the-same-time
πρός τε τοὺς Σκύθας ἐπολέμει Σκίλουρόν τε καὶ τοὺς
against both the Scythians warred Scilurus both and the
Σκιλούρου παῖδας τοὺς περὶ Πάλακον, οὓς Ποσειδώνιος
of-Scilurus sons those about Palacus whom Posidonius
μὲν πεντήκοντά φησιν Ἀπολλωνίδης δὲ ὀγδοήκοντα·
indeed fifty says Apollonides but eighty
ἅμα δὲ τούτους τε ἐχειρώσατο βίᾳ καὶ Βοσπόρου
at-the-same-time and these both he-subdued by-force and of-Bosporus
κατέστη κύριος παρ' ἑκόντος λαβὼν Παιρισάδου τοῦ
became master from willing having-received Paerisades the(-one)
κατέχοντος. ἐξ ἐκείνου δὴ τοῦ χρόνου τοῖς τοῦ Βοσπόρου
holding from that indeed the time to-the of-the Bosporus
δυνάσταις ἡ τῶν Χερρονησιτῶν πόλις ὑπήκοος μέχρι
dynasts the of-the Chersonesites city subject until
νῦν ἐστι. τὸ δ' ἴσον ὁ Κτενοῦς διέχει τῆς τε τῶν
now is the and equal the Ctenus is-distant from-the both of-the
Χερρονησιτῶν πόλεως καὶ τοῦ συμβόλων λιμένος. μετὰ δὲ
Chersonesites city and the of-Symbols harbor after and
τὸν συμβόλων λιμένα μέχρι Θεοδοσίας πόλεως ἡ Ταυρικὴ
the of-Symbols harbor as-far-as Theodosia city the Tauric
παραλία, χιλίων που σταδίων τὸ μῆκος, τραχεῖα καὶ
coast of-a-thousand somewhere stades in-the length rough and
ὀρεινὴ καὶ καταιγίζουσα τοῖς βορέαις ἵδρυται. πρόκειται
mountainous and swept-by-squalls by-the north-winds is-situated juts-out
δ' αὐτῆς ἄκρα πολὺ πρὸς τὸ πέλαγος καὶ τὴν μεσημβρίαν
and of-it headland far toward the sea and the south
ἐκκειμένη κατὰ Παφλαγονίαν καὶ Ἄμαστριν πόλιν, καλεῖται
jutting-out toward Paphlagonia and Amastris city is-called
δὲ Κριοῦ μέτωπον. ἀντίκειται δ' αὐτῇ τὸ τῶν Παφλαγόνων
and Ram's forehead lies-opposite and it the of-the Paphlagonians

ἀκρωτήριον ἡ Κάραμβις τὸ διαιροῦν εἰς πελάγη δύο
headland the Carambis the(-one) dividing into seas two
τὸν Εὔξεινον πόντον τῷ ἑκατέρωθεν σφιγγομένῳ πορθμῷ.
the Euxine sea by-the on-each-side squeezed strait
διέστηκε δ' ἡ Κάραμβις τῆς μὲν τῶν Χερρονησιτῶν
stands-apart and the Carambis from-the indeed of-the Chersonesites
πόλεως σταδίους δισχιλίους καὶ πεντακοσίους, τοῦ δὲ
city stades two-thousand and five-hundred from-the but
Κριοῦ μετώπου πολὺ ἐλάττους τὸν ἀριθμόν· συχνοὶ γοῦν
Ram's forehead much less in-the number many at-least
τῶν διαπλευσάντων τὸν πορθμὸν ἅμα φασὶν ἰδεῖν
of-those having-sailed-across the strait at-once say to-have-seen
ἀμφοτέρας ἑκατέρωθεν τὰς ἄκρας. ἐν δὲ τῇ ὀρεινῇ
both on-each-side the headlands in and the mountain-country
τῶν Ταύρων καὶ τὸ ὄρος ἐστὶν ὁ Τραπεζοῦς, ὁμώνυμον
of-the Tauri also the mountain is the Trapezus of-the-same-name
τῇ πόλει τῇ περὶ τὴν Τιβαρανίαν καὶ τὴν Κολχίδα·
with-the city the(-one) about — Tibarania and — Colchis
καὶ ἄλλο δ' ἐστὶν ὄρος Κιμμέριον κατὰ τὴν αὐτὴν
and another and is mountain Cimmerium in the same
ὀρεινήν, δυναστευσάντων ποτὲ τῶν Κιμμερίων ἐν τῷ
mountain-country having-held-power once the Cimmerians in the
Βοσπόρῳ· καθ' ὃ καὶ Κιμμερικὸς Βόσπορος καλεῖται
Bosporus at which also Cimmerian Bosporus is-called
τοῦ πορθμοῦ πᾶν ὃ ἐπέχει τὸ στόμα τῆς Μαιώτιδος.
of-the strait all which occupies the mouth of-the Maeotis
μετὰ δὲ τὴν ὀρεινὴν τὴν λεχθεῖσαν ἡ Θεοδοσία 4
after and the mountain-country the said — Theodosia
κεῖται πόλις, πεδίον εὔγεων ἔχουσα καὶ λιμένα ναυσὶ
lies city plain fertile having and harbor for-ships
καὶ ἑκατὸν ἐπιτήδειον· οὗτος δὲ ὅρος ἦν πρότερον τῆς
even a-hundred suitable this and boundary was formerly of-the

τῶν Βοσποριανῶν καὶ Ταύρων γῆς· καὶ ἡ ἑξῆς δ' ἐστὶν
of-the Bosporani and Tauri land and the next and is
εὔγεως χώρα μέχρι Παντικαπαίου, τῆς μητροπόλεως τῶν
fertile country as-far-as Panticapaeum the mother-city of-the
Βοσποριανῶν ἱδρυμένης ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος.
Bosporani situated on the mouth of-the Maeotis
ἔστι δὲ τὸ μεταξὺ τῆς Θεοδοσίας καὶ τοῦ Παντικαπαίου
is and the between — Theodosia and — Panticapaeum
σταδίων περὶ πεντακοσίων καὶ τριάκοντα, χώρα πᾶσα
of-stades about five-hundred and thirty country all
σιτοφόρος, κώμας ἔχουσα καὶ πόλιν εὐλίμενον τὸ Νύμφαιον
grain-bearing villages having and city with-good-harbor — Nymphaeum
καλούμενον. τὸ δὲ Παντικάπαιον λόφος ἐστὶ πάντη
called — and Panticapaeum hill is all-round
περιοικούμενος ἐν κύκλῳ σταδίων εἴκοσι· πρὸς ἕω δ' ἔχει
inhabited in circuit of-stades twenty toward east and it-has
λιμένα καὶ νεώρια ὅσον τριάκοντα νεῶν, ἔχει δὲ καὶ
harbor and docks for-as-many-as thirty ships it-has and also
ἀκρόπολιν· κτίσμα δ' ἐστὶ Μιλησίων. ἐμοναρχεῖτο δὲ πολὺν
acropolis foundation and is of-Milesians was-ruled-by-one and long
χρόνον ὑπὸ δυναστῶν τῶν περὶ Λεύκωνα καὶ Σάτυρον καὶ
time by dynasts those about Leucon and Satyrus and
Παιρισάδην αὕτη τε καὶ αἱ πλησιόχωροι κατοικίαι πᾶσαι αἱ
Paerisades this both and the neighboring settlements all those
περὶ τὸ στόμα τῆς Μαιώτιδος ἑκατέρωθεν μέχρι Παιρισάδου
about the mouth of-the Maeotis on-each-side as-far-as Paerisades
τοῦ Μιθριδάτῃ παραδόντος τὴν ἀρχήν. ἐκαλοῦντο δὲ
the(-one) to-Mithridates having-handed-over the rule were-called and
τύραννοι, καίπερ οἱ πλείους ἐπιεικεῖς γεγονότες, ἀρξάμενοι
tyrants although the most reasonable having-been having-begun
ἀπὸ Παιρισάδου καὶ Λεύκωνος. Παιρισάδης δὲ καὶ θεὸς
from Paerisades and Leucon Paerisades and even god

νενόμισται· τούτῳ δὲ ὁμώνυμος καὶ ὁ ὕστατος, ὃς
has-been-considered with-this and of-the-same-name also the last who
οὐχ οἷός τε ὢν ἀντέχειν πρὸς τοὺς βαρβάρους φόρον
not able — being to-hold-out against the barbarians tribute
πραττομένους μείζω τοῦ πρότερον Μιθριδάτῃ τῷ Εὐπάτορι
exacting greater than-the former to-Mithridates the Eupator
παρέδωκε τὴν ἀρχήν· ἐξ ἐκείνου δ' ἡ βασιλεία γεγένηται
handed-over the rule from that and the kingdom has-become
Ῥωμαίοις ὑπήκοος. τὸ μὲν οὖν πλέον αὐτῆς μέρος ἐστὶν
to-Romans subject the indeed then more its part is
ἐπὶ τῆς Εὐρώπης, μέρος δέ τι καὶ ἐπὶ τῆς Ἀσίας.
